Τριῴδιον σὺν τοῖς συναξαρίοις Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου, ἀρχόμενον ἐν τῷ κώδικι ἀπὸ τῆς ὀπισθίας σελίδος τοῦ φύλλου 14 καὶ λῆγον εἰς τὸ φύλλον 268. Τὴν ἀρχὴν αὐτοῦ κοσμεῖ ποιειδὲς ἐρυθρὸν κόσμημα. Τοῦ κειμένου τοῦ τριῳδίου προέταξεν ὁ καλλιγράφος ταῦτα· α') «Καθίσματα ψαλλόμενα τῇ ἁγίᾳ καὶ μεγάλῃ $\overline{\text{M}}^{\text{ῃ}}$ ἐν τῷ πρώτῳ καθίσματι τοῦ Ψαλτῆρος, κατ' ἦχον ἐνορδίνως τῆς ὀκτωήχου». Ἀρχ. «Ἦχος α'. Τῇ β'. Ἐν ἀνομίαις συλληφθεὶς» κτλ., φ. 1-10$^{β}$.—β') «Στιχηρὰ κατανυκτικά, ἅτινα ψάλλονται κατὰ Κυριακὴν ἑσπέρας εἰς τὸ *Κύριε ἐκέκραξα*». Ἀρχ. «Ἦχος α'. Ὅτι τὸ πέλαγος πολὺ * τῶν παραπτωμάτων μου», φ. 10$^{β}$-12$^{β}$. — γ') «Ὕμνοι τριαδικοὶ ψαλλόμενοι ἐν τῷ ὄρθρῳ εἰς τὸ Ἀλληλούια». Ἀρχ. «Ἦχος α'. Σωματικαῖς μορφώσεσι», φ. 12$^{β}$-14$^{α}$.—δ') «Ἰδιόμελα ψαλλόμενα κατὰ Κυριακὴν ἀντὶ τοῦ *Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου*, ἀφ' οὗπερ ἄρξονται τὸ Τριῴδιον». Ἀρχ. «Ἦχος πλ. β'. Τὰ πλήθη τῶν πεπραγμένων», φ. 14$^{α}$. Μετὰ δὲ τὸ τέλος τοῦ Τριῳδίου ὑπάρχουσι μεταξὺ τῶν φύλλων 269-274 «Μαρτυρικὰ κατ' ἦχον ψαλλόμενα τὸ ἑσπέρας, καὶ τὰ νεκρώσιμα τοῦ Δαμασκηνοῦ· ὁμοίως καὶ τὰ προσόμοια τοῦ κυροῦ Θεοφάνους, ἅτινα ψάλλονται τῷ Σαββάτῳ πρωί». Κείμενον κολοβόν, λῆγον εἰς τὸ προσόμοιον ἦχου πλαγίου δ', οὗ ἡ ἀρχή· «Βάθει σοφίας».

**459**. Τεῦχος χάρτινον τοῦ 1584-ου ἔτους, μήκους 0,283, πλάτους 0,21, ἀριθμοῦν φύλλα 471. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 25-26. Δύο κοσμήματα ταινιοειδῆ ἐν φ. 1 καὶ 15, τὸ μὲν ἐρυθρὸν καὶ μέλαν, τὸ δ' ἕτερον ὅλως ἐρυθρόν. Ἐπὶ τῆς κάτω ᾤας τοῦ φ. 1$^{α}$ ὑπάρχουσι δύο διαφόρων χειρῶν σημειώματα τῆς 18-ης ἑκατοντ. «Καὶ τόδε ξὺν τοῖς ἄλλοις Λαρίσσης Παρθενίου». Εἶτα· «Καὶ τόδε σὺν τοῖς ἄλλοις Ἰακώβου τοῦ Ῥίζου». Ἐπὶ τοῦ φ. 14, ὅπερ ἦν ἐξ ἀρχῆς ἄγραφον· «Κτῆμα καὶ ἀφιέρωμα τοῦ παναγίου καὶ ζωοδόχου Τάφου, καὶ ὁ ἀφαιρούμενος αὐτὸ ἐκ τῆς δεσποτείας αὐτοῦ, εἴη ἐπικατάρατος, καὶ ἀφο( = ω)ρισμένος ἀπὸ Κυρίου παντοκράτορος: — $\overline{1770}^{\text{ον}}$: Σεπτεμβρίου $\overline{1}^{\text{η}}$:. Ἱεροσολύμων Σωφρόνιος». Ἕτερον σημείωμα ἐν φ. 471$^{α}$· «+ Τὸ παρὸν βη-

βλύων ἕνε τοῦ Κῷνσταντίνου τοῦ Σαλέρμου τοῦ υἱοῦ τοῦ ῷνομαζομένου Κουδούνη. καὶ ἐγώρασε τούτῳ ὁ πατερας τοῦ δῖα ταλαρα 19 εἰκοσῖν καὶ ἐπλ(ή)ρωσεν τοῦ τὸ 1585 ὑμέρα τριτί Αὐγούστου».

Εὐθυμίου Ζυγαδηνοῦ ἑρμηνεία τοῦ Ψαλτῆρος. Ἐπιγραφή· «Προοίμιον τῆς ἐξηγήσεως τῆς βίβλου τῶν ψαλμῶν, ἤτοι τοῦ Ψαλτηρίου. καὶ ἐγκώμιον τοῦ Δαυίδ, ἐκτεθὲν παρὰ τοῦ ὑπερτίμου τῶν φιλοσόφων χυροῦ Εὐθυμίου τοῦ Ζηγαδηνοῦ: — Θεοδώρου πέφυκεν ἐκ πόθου πόνος». Ἀρχ. «Πατὴρ τοῦ παρόντος βιβλίου», φ. 1. Τὸ προοίμιον τοῦτο διήκει μέχρι τοῦ φ. 13, ἡ δὲ ἐξήγησις ἄρχεται ἀπὸ τοῦ φ. 15, ἔνθα ὁ καλλιγράφος προέταξε διὰ γραμμάτων ἐρυθρῶν τὸ «Κάταρχε, Χριστέ, τῶν ἐμῶν πονυ(=η)μάτων». Μετὰ δὲ τὸ τέλος τῆς ἐξηγήσεως ἔγραψεν ἐν τῇ προσθίᾳ σελίδι τοῦ φ. 469 ταῦτα· «Ἐτελιώθη τὸ παρὸν βιβλίον. διὰ χειρὸς εὐτελοὺς ἱερέως Νικήτα Μενδρινού. τοῦ λεγομένου Παγκάλλου. ἐν ἔτι ͵ζω. ηβω. ἐν μηνὶ Αὐγούστω ιη. οἱ ἀναγινώσκονσκοντες εὔχεσθαι. καὶ ἤτι σφαλερὸν εὕρειται ἐπιδιορθώσαντες σύγγνωται. ἀνθρώπινον γὰρ πάθος τῷ ἁμαρτάνειν».

**460**. Χάρτινον ἰβηρικὸν (γεωργιανὸν) Εὐαγγέλιον ἐκ φύλλων 181, μήκ. 0,265, πλ. 0,20, πιθανῶς τῆς πεντεκαιδεκάτης ἑκατονταετηρίδος, ἐν ᾧ καὶ εἰκόνες ὀκτώ, αἱ πλείους ὁλοσέλιδοι, α') Ματθαίου τοῦ εὐαγγελιστοῦ, β') τῆς ἐν σπηλαίῳ γεννήσεως τοῦ Χριστοῦ, γ') Μάρκου τοῦ εὐαγγελιστοῦ, δ') τῆς Χριστοῦ βαπτίσεως, ε') Λουκᾶ τοῦ εὐαγγελιστοῦ, ς') τοῦ εὐαγγελισμοῦ τῆς Θεοτόκου, ζ') Ἰωάννου τοῦ Θεολόγου, η') τῆς εὑρέσεως τοῦ Σταυροῦ. Τὸ κείμενον δίστηλον ἐκ γραμμῶν 28. Τρία φύλλα (2, 3, 8) ἄγραφα.

**461**. Τεῦχος ἐκ φύλλων 489 χάρτου βαμβακεροῦ, μήκους 0,272, πλ. 0,19. Κείμενον μονόστηλον ἐκ γραμμῶν 28-30, γραφὲν περὶ τὴν ἀρχὴν τῆς δεκάτης καὶ τετάρτης ἑκατ. Τὸ πρῶτον φύλλον πρόσθετον, τῆς 17-ης ἑκατ., ὡσαύτως τὸ φ. 489· τοῦτο δὲ νεώτερον. Ἐπιγραφή· «Ἐξήγησις τοῦ πανιερωτάτου μητροπολίτου χυροῦ Νικήτα εἰς τοὺς ἀναγινωσκομένους δεκαὲξ λόγους τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ Θεολόγου». Ἀρχ. «Ἄκων χειροτονηθεὶς» κτλ.

**462**. Τεῦχος καλόγραφον ἐκ φύλλων 281 στιλπνοῦ χάρτου, μήκους 0,213, πλάτους 0,155. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 16. Ἐγράφη περὶ τὸ τέλος τῆς ἑκκαιδεκάτης ἑκατοντ. Τὰ φύλλα 7 καὶ 134 ἄγραφα.

1. «Φυσιολογία νέα τοῦ πανιερωτάτου μητροπολίτου Ναυπάκτου καὶ Ἄρτης κυροῦ Δαμασκηνοῦ εἰς πεζὴν φράσιν», ἧς ἡ διάταξις ἔχει οὕτως. Ἐν τῷ φύλλῳ 2ª δίστιχον τοῦ Κάτωνος, οὗ ἡ ἀρχή· «Εἴ σοι δῶρα πένης φίλος». Εἶτα «Ἐπίγραμμα ἡρωελεγεῖον πρὸς τὸν ἐνδοξότατον κύριν Μιχαὴλ τὸν Κανταχουζηνόν». Ἀρχ. «Ἔγρεο Κωνσταντῖνε». Ἐν τῷ φ. 2β προσφωνηματικὴ ἐπιστολὴ Μιχαὴλ Κανταχουζηνῷ, «μεγάλῳ δομεστίκῳ». Ἀρχ. «Συνήθειαν ἔχουσιν». Φύλλ. 3ª-10ª «Πίναξ τῶν ζώων ὁποῦ περιέχει τοῦτο τὸ βιβλίον». Ἐν τῷ φ. 10β σημείωσις πρόσθετος τοῦ 1668-ου ἔτους Ἐλευθερίου Καθαροῦ περὶ τῆς ἐκ Τραπεζοῦντος ἀποδημίας αὐτοῦ. Φύλλ. 11-133 κείμενον τῆς φυσιολογίας ἐπιγραφόμενον ὧδε· «Φυσιολογία νέα, τὴν ὁποίαν ἔκαμε τοῦτος ὁποῦ ἔναι τὴν σήμερον μητροπολίτης Ναυπάκτου ὀνόματι κύρις Δαμασκηνός, ἔσοντας ὁποῦ ἐπῆρε καὶ ἐδανείσθη ἀπὸ τῶν παλαιῶν φιλοσόφων τὰ βιβλία καὶ ἐξηγεῖται περὶ τῶν ζώων τῆς γῆς καὶ τῆς θαλάσσης καὶ περὶ τῶν πετεινῶν πουλίων». Ἀρχ. «Περὶ ἀετοῦ. Κεφάλαιον α'ον. Ὁ ἀετὸς εἶναι μὲν βασιλεὺς εἰς ὅλα τὰ πετόμενα» κτλ. Διῄρηται τὸ κείμενον ὅλον εἰς κεφάλαια 85.

2. Χρονογράφος ἀνεπίγραφος ἀπὸ Ῥωμύλου μέχρι σουλτάνου Μουράτη, ἢ ἔτους 1570, φύλλ. 135ª-238ª. Ἀρχ. «Περὶ τῶν βασιλέων τῆς πρεσβυτέρας Ῥώμης ὁποῦ ἐβασίλευσαν εἰς αὐτήν. Ῥωμύλος ὁ ὁποῖος ἔκτισε» κτλ. Τέλος· «καὶ ηὐχαρίστησε αὐτῶν πολλὰ ἰδόντας τὴν δουλοσύνην αὐτῶν». Τὸ κείμενον τοῦτο καὶ τὸ ἑξῆς τρίτον περὶ πατριαρχῶν ἀναγνοὺς ὁ Σάθας ἐν τῷδε τῷ κώδικι προσένειμεν ἀνακριβῶς Δαμασκηνῷ τῷ Στουδίτῃ· ἴδε Μεσαιων. Βιβλιοθήκης τ. 3, σ. ια'.

3. Ἀνωνύμου. «Οἱ πατριάρχαι Κωνσταντινουπόλεως, Νέας Ῥώμης, ὅσοι ἐπατριάρχευσαν αὐτήν, ἀφ' οὗ τὴν ἔκτισεν ὁ μέγας Κωνσταντῖνος ἕως τὴν σήμερον, ὁποῦ εἶναι χρόνοι ,ζπ'ω, ἰνδικτιῶνος ιε'ης

μηνὶ Μαΐῳ. καὶ πόσους χρόνους ἔκαμε καθ' ἕνας εἰς τὸν ὑψηλότατον πατριαρχικὸν θρόνον· καὶ ποῖοι ἐξεβλήθησαν ἐκ τοῦ θρόνου». Ἀρχ. «ᾱ. Μητροφάνης χρόνους ῑ», φ. 239. Ἀπὸ φ. 246$^{β}$· «Τοῦτοι οἱ κάτωθεν πατριάρχαι ἐπατριάρχευσαν αὐτὸν τὸν θρόνον τῆς Κ/πόλεως, ἀφ' οὗ ἐπῆραν οἱ Τοῦρκοι αὐτὴν τὴν Πόλιν». Ἀρχ. «Γεννάδιος ὁ Σχολάριος. Τοῦτος ἦτον κριτὴς τῆς βασιλικῆς κρίσεως» κτλ. Τὸ τμῆμα τοῦτο, ἐν ᾧ βιογραφοῦνται πατριάρχαι Κ/πόλεως ἀπ' ἀρχῆς τῆς ὑπὸ τῶν Τούρκων ἁλώσεως αὐτῆς, διαιρούμενον εἰς κε' ἠριθμημένα κεφάλαια λήγει εἰς τὴν πρώτην πατριαρχίαν Ἱερεμίου τοῦ 2-ου. Τελευταῖαι λέξεις· «καὶ ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας εἰς ὠφέλειαν τοῦ χριστωνύμου λαοῦ. Ἀμήν. — Ἐπὶ τῆς πατριαρχίας τούτου τοῦ κυροῦ Ἱερεμίου ἀπέθανεν ὁ αὐτὸς σουλτᾶν Σελήμης καὶ ἔγινεν ὁ υἱὸς αὐτοῦ σουλτᾶν Μουράτης, καὶ ὡς ἐκάθησεν εἰς τὸν θρόνον, ὑπῆγεν ὁ αὐτὸς δεσπότης ὁ πατριάρχης καὶ ἐπροσκύ - - -».

**463**. Τεῦχος ἐκκλησιαστικῆς μουσικῆς ἐκ φύλλων 56 στιλπνοῦ χάρτου, μήκ. 0,253, πλ. 0,19. Ἐγράφη ἐν τῷ πρώτῳ ἡμίσει τῆς 18-ης ἑκατ. Περιέχονται δ' ἐν τούτῳ

1. Ὁ Ἀκάθιστος ὕμνος μελοπεποιημένος ὑπὸ Ἰωάννου Κουκουζέλη, Ἰωάννου Κλαδᾶ καὶ Μανουὴλ Χρυσάφου. Ἀπὸ φύλλ. 1-3 τὸ Α ἀνεπίγραφον κατὰ τὴν μελοποίησιν Κουκουζέλη· καὶ πάλιν τὸ Α ἀπὸ φ. $4^{α}$-$6^{α}$ μετ' ἐπιγραφῆς· «Ἕτερος (= ἀκάθιστος) ποιηθεὶς παρὰ Μανουὴλ λαμπαδαρίου Χρυσάφου». Εἶτα τὸ Β (φύλλ. $6^{α}$-$7^{β}$) κατὰ τὸ μέλισμα «τοῦ κῦρ Ἰωάννου λαμπαδαρίου» τοῦ Κλαδᾶ· καὶ πάλιν τὸ Β (φ. $7^{β}$ κέ) κατὰ τὸ μέλισμα «τοῦ κῦρ Μανουὴλ τοῦ Χρυσάφου». Κατόπιν τὰ λοιπὰ στοιχεῖα τοῦ Ἀκαθίστου μέχρι φύλλου 51 κατὰ τὰς διαφόρους τῶν αὐτῶν μελοποιίας.

2. Διάφοροι ἐκκλησιαστικαὶ μελῳδίαι Κωνσταντίνου τοῦ ἐξ Ἀγχιάλου, Γερμανοῦ μητροπολίτου Νέων Πατρῶν καὶ Νεκταρίου Σερεμέτη, ἔτι δὲ ἡ «ψαλτήρα» Γρηγορίου Ἀλυάτου καὶ ἓν ἤχημα Ἰωάννου Κλαδᾶ, φ. $53^{β}$-$56^{β}$.

**464**. Τεῦχος ἐκκλησιαστικῆς μουσικῆς ἐκ φύλλων 90 στιλπνοῦ χάρτου, μήκ. 0,245, πλ. 0,185. Ἐν τῷ φ. $90^{β}$ σημειω-

μα τοῦ γραφέως· «+ Ἐγράφη δὲ παρὰ Νεκταρίου ἱερομονάχου». Μετὰ τοῦτο τρία φύλλα ἄγραφα, μὴ ἠριθμημένα· ἀλλ' ἐν τῷ δευτέρῳ τούτων ὁ αὐτὸς Νεκτάριος ἔγραψεν ἰδιοχείρως τοῦτο μόνον· «,αψν^ψ μηνὶ Ὀχτωβρ. ἡμέρᾳ Κυριακῇ τῶν Ἁγίων Πατέρων, μετὰ τὸ ἐξουθενῆσαι, καὶ περιφρονῆσαι μοι, ὁ πατριάρχης κὺρ Κύριλλος δι' ἀσέμνων ὕβρεων, ἔπειτα διὰ τῆς διαβολῆς τοῦ Μελενίκου. τῆς τε ἐπιστασίας, καὶ κυβερνήσεως. ὑστέρησέ με. κόλες 24». Τῇ 4-η Ἰουνίου 1798 ἀγοράσας τὸ τεῦχος τοῦτο Διονύσιός τις ἀφιέρωσε τῷ Ἁγίῳ Τάφῳ (ἴδε φ. 90^β). Ἐπὶ τῆς κάτω ᾤας τοῦ φ. 1^α, ἐν ᾧ κόσμημα ἁπλοῦν, ἀναγινώσκεται τὸ «Καὶ τόδε πρώην Τήνου Κυρίλλου Μαρμαρηνοῦ». — Ἐπιγραφὴ τοῦ κώδικος· «Ἀρχὴ σὺν θ(ε)ῷ ἁγίῳ τῶν κατ' ἦχων μεγάλων κρατημάτων. ἐκ τῶν πολλῶν τὰ ἐκλεκτότερα ποιήματα διαφόρον ποιητῶν. τὸ παρὸν ἐστὶ ποίημα κυρίου Ἰωάννου τοῦ Κουκουζέλη». Εἶτα κρατήματα ἑτέρων, οἷον Κορώνη, Ἠθικοῦ, Πρασίνου, Μανουὴλ Χρυσάφου, Κλαδᾶ, Γλυκέος, Κοντοπετρῆ, Δοκειανοῦ, Ἀργυροῦ Ῥοδίου, Μάρκου ἱερομονάχου. Πολλὰ τῶν κρατημάτων ἔχουσιν ἴδια ὀνόματα, οἷον Τροχός, Καμπάνα, Βουλγάρα, Ἀνυφάντης, Συρλᾶς, Ἀηδών, Ὀρφανόν, Σημαντήρα, Τρουμπέτα κτλ.

**465**. Τεῦχος ἐκ φύλλων 59 βομβυκίνου χάρτου, μήκ. 0,25, πλ. 0,165. Τὰ φύλλα 1-4 καὶ 56-59 μέρη εἰσὶν ἑτέρου τινὸς βομβυκίνου κώδικος τῆς 13-ης ἑκατ. Τὰ λοιπὰ φύλλα 14-ης ἑκατ., γεγραμμένα πάντα διὰ χειρὸς λογίου καλλιγράφου χρῆσιν ἀφθονέστατα ποιησαμένου ἐν τῇ γραφῇ τῶν λέξεων τῆς συγκοπῆς τούτων καὶ τῆς διὰ σημείων στενογραφικῶν ἀποπερατώσεως αὐτῶν.

1. Λείψανον ἑρμηνείας εἰς τὴν πρὸς Ἑβραίους ἐπιστολὴν Παύλου τοῦ ἀποστόλου, φ. 1-4 καὶ 56-59.

2. Λείψανον τῆς Μαξίμου Πλανούδη μεταφράσεως τοῦ περὶ παραμυθίας τῆς φιλοσοφίας λατινικοῦ πονήματος Βοητίου, φ. 5-52^α. Προτέτακται τοῦ Βοητίου βίος, οὗ ἡ ἀρχή· «Βοήτιος ὁ σοφὸς ἦν μὲν ἐκ τῆς τῶν Τορκουάτων οἰκίας» κτλ. Εἶτα ἀπὸ τοῦ 6-ου φύλλου τὸ κείμενον, μονόστηλον ἐκ γραμμῶν 25. Ἀρχ. «- - - σαν θεραπείας συνεῖναι; ἀλλὰ σύ. ἣν δ' ἐς τὸ κατὰ σὴν γνῶσιν» κτλ. Τέ-

λος· «τὰ πάντα ἐπισκοποῦντος. Βοητίου περὶ παραμυθίας τῆς φιλοσοφίας». Πολλαχοῦ ἐν ταῖς ᾤαις σχόλια διὰ χειρὸς τοῦ καλλιγράφου.

2. «Κάτων Ῥωμαῖος, μετενεχθεὶς καὶ αὐτὸς εἰς τὴν τῶν Ἑλλήνων διάλεκτον παρὰ τοῦ αὐτοῦ σοφωτάτου μοναχοῦ κῦρι Μαξίμου τοῦ Πλανούδη». Κείμενον κολοβόν, δίστηλον ἐκ γραμμῶν 24 ἢ 25, ἔχον ἐν ταῖς ᾤαις καὶ σχόλια τῆς χειρὸς τοῦ καλλιγράφου. Ἀρχ. «Ἀναπολήσας ἐγὼ κατὰ νοῦν» κτλ., φ. 53-55.

**466**. Τεῦχος μεμβράνινον τῆς 12-ης ἑκατ. ἐκ φύλλων 410, μήκ. 0,235, πλ. 0,185. Τὸ κείμενον μονόστηλον, λεπτόγραφον καὶ ἐκ γραμμῶν 40 (0,129×0,13). Ἐν τῇ προσθίᾳ σελίδι πίναξ τῶν ἐν τῷ κώδικι κεφαλαίων.

Σειρᾶς ἑρμηνευτῶν εἰς τὸ κατὰ Λουκᾶν εὐαγγέλιον τόμος, ὡς φαίνεται, δεύτερος καὶ ἀκέφαλος, ἀρχόμενος ἀπὸ κεφαλαίου ια', ἐδαφίου 1 «Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν» κτλ. Ἡ ἀρχὴ τῆς ἑρμηνείας· «*Κυρίλλου*· Καίτοι θεός ἐστιν ἀληθινὸς καὶ υἱὸς τοῦ ἐπὶ πάντας θεοῦ» κτλ. Ἐκτὸς τοῦ Κυρίλλου παράγονται ἐνταῦθα τεμάχη Τίτου Βόστρης, Γρηγορίου Νύσσης, Βασιλείου Καισαρείας, Μαξίμου, Μάρκου μοναχοῦ, Ὠριγένους, Ἰωάννου Χρυσοστόμου, Ἀθανασίου Ἀλεξανδρείας, Ἰσιδώρου Πηλουσιώτου, Συνεσίου, Σεβήρου, Μακαρίου, Γρηγορίου Θεολόγου, Μεθοδίου Πατάρων, Θεοδώρου Μοψουεστίας, Ἰωάννου Γεωμέτρου (φύλλ. 42$^{β}$, 386$^{α}$), Εὐσεβίου Καισαρείας, Ἰωάννου Δαμασκηνοῦ, Κλήμεντος Ἀλεξανδρέως, Νείλου, Διονυσίου Ἀλεξανδρείας, Εὐαγρίου, Ἰσαάκ, Ψελλοῦ (φ. 108$^{β}$), Ἰωάννου τῆς Κλίμακος, Ἀστερίου, Φωτίου πατριάρχου (φ. 196$^{β}$, 333, 337$^{β}$, 360, 345, 387$^{β}$), Φίλωνος, Δωροθέου, Ἐφραίμ, Κασσιανοῦ, Νικήτα Παφλαγόνος (φ. 248$^{α}$), Ἀπολλιναρίου, Ἀναστασίου, Ἐπιφανίου, Ὑπατίου Ἐφέσου, Θεοδωρήτου, Σιλβέστρου (ἐκ τῆς πρὸς Ἰουδαίους ἀντιλογίας, φ. 360$^{α}$), Ἱππολύτου, Ἀμβροσίου, Κυπριανοῦ, Πρόκλου, Ἀμφιλοχίου.

**467**. Τεῦχος χάρτινον τῆς 18-ης ἑκατ. ἐκ φύλλων 255. Τὸ κείμενον μονόστηλον ἐκ 31 γραμμῶν. Φύλλα ἄγραφα· 233, 234. — «Γεωμετρικῆς καὶ φυσικῆς ἀστρονομίας μαθήματα στοι-

χ(ε)ιώδη συγγραφέντα παρὰ τοῦ σοφωτάτου ἀββᾶ Καΐλου». Ἀρχ. «Τομὴ πρώτη, τὸ πρῶτον μέρος τῆς ἡλιακῆς ἀστρονομίας περιέχουσα. Καθ' ὅλον τουτοΐ τὸ σύγγραμμα» κτλ.

**468**. Τεῦχος χάρτινον ἐκ φύλλων 88 (μήκ. 0,24, πλ. 0,178) γραφὲν ἐν τῷ πρώτῳ ἡμίσει τῆς 18-ης ἑκατ. Αὐτόγραφον Δωροθέου Βουλησμᾶ. Τὸ κείμενον μονόστηλον. Πρὸ τοῦ κειμένου ἐν προσθέτῳ τινὶ φύλλῳ ἀναγινώσκεται τὸ σημείωμα τόδε· «Κατὰ τὸ 1872 κατ' ἐπίμονον αἴτησιν τοῦ ἀρχιμανδρίτου κ. Νικοδήμου ἀντεγράφησαν διὰ τὸν ἐν Ὀδησσῷ ἀρχιμανδρίτην Βουλισμᾶν» [1], τουτέστι τὰ ἐν τῷ κώδικι τούτῳ περιεχόμενα κείμενα.

1. «Τῷ παναγιωτάτῳ καὶ σεβασμιωτάτῳ οἰκουμενικῷ πατριάρχῃ, κυρίῳ Νεοφύτῳ, καὶ τῇ περὶ τὴν αὐτοῦ παναγιότητα θειοτάτῃ τε καὶ ἁγίᾳ συνόδῳ, Δωρόθεος ἱερομόναχος ὁ Βουλησμᾶς τὴν ὑποκλινεστάτην προσκύνησιν». Ἐπιστολή, ἧς ἡ ἀρχή· «Παναγιώτατε δέσποτα, τῷ τῆς ἱεραρχίας βαθμῷ» κτλ., φ. 1-5α.

2. «Αἱ πρὸς τὴν Χριστοφόρου ἀπολογίαν Δωροθέου ἀνταποκρίσεις». Ἀρχ. «Ἐν τῷ προανακριθέντι μοι, ὦ θειότατοι, μέχρι τῆς τοῦ ἑξηκοστοῦ ὀγδόου τῶν ἀποστόλων κανόνος ἑρμηνείας τοῦ ἀδελφοῦ ἡμῶν Χριστοφόρου κανονικῷ συγγράμματι» κτλ., φ. 5β-76β. Λείπει τὸ τέλος.

3. Δωροθέου Βουλησμᾶ ἐπιστολὴ «Χριστοφόρῳ ἀνδρὶ ὁσίῳ τε καὶ λογίῳ καὶ ἐμοὶ ἀγαπητῷ ἐν Κυρίῳ τὸν ἐν ἁγίῳ πνεύματι ἀντασπασμόν». Ἀρχ. «Τοῖς τὴν ἀλήθειαν ἑκουσίῳ ἐπανηρημένοις γνώμῃ», φ. 77α-79α. Ἐγράφη ἐν Κ/πόλει ἔτει 1729-ῳ.

4. «Ἀνάκρισις εἰς τὰ λοιπὰ τῆς βίβλου τοῦ ἀδελφοῦ Χριστοφόρου». Ἀρχ. «Εὐεπηρέαστον, ἀγαπητέ, ἐστι σημειοῦν», φ. 79α-88β.

**469**. Τεῦχος χάρτινον ἐκ φύλλων 174 (μήκ. 0,24, πλ. 0,172) γραφὲν ἐν τῷ πρώτῳ ἡμίσει τῆς 18-ης ἑκατ. — «Γεωργίου Κορεσίου θεολόγου τῆς Μεγάλης Ἐκκλησίας, τοῦ Χίου, εἰς τὴν Πεντάτευχον» ἑρμηνεία. Ἀρχ. «Ἀρχὴ εἰς τὴν Γένεσιν. Μπερεξὶθ ἑβραϊστὶ ἡ Γένεσις λέγεται» κτλ. Τὸ κείμενον μονόστηλον.

**470**. Τεῦχος χάρτινον τῆς 19-ης ἑκατ. ἐκ φύλλων 23. Πα-

[1] Νοεῖται Εὐστάθιος ὁ Βουλισμᾶς, ὁ ὕστερον ἀρχιεπίσκοπος Κερκύρας.

ράφρασις νεοελληνική έκ τῶν τοῦ Πλάτωνος διαλόγων (Εὐθύφρονος καὶ Κρίτωνος).

**471**. Τεῦχος χάρτινον γεγραμμένον ἐπιμελῶς ἐν τῇ 18-ῃ ἑκατ., ἐκ φύλλων α'+87 χάρτου στιλπνοῦ καὶ παχέος, μήκ. 0,228, πλ. 0,168. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 23.—«Ἰωάννου Νικολάου Ἀλεξάνδρου βοεβόδα αὐθέντου καὶ ἡγεμόνος πάσης Οὐγγροβλαχίας, περὶ τῶν καθηκόντων». Ἐν τῷ 1-ῳ φύλλῳ πίναξ ιθ' κεφαλαίων· εἶτα τὸ κείμενον (ἀπὸ φ. 2 κέ). Ἀρχ. «Προοίμιον ὅ τε σκοπὸς τοῦ βιβλίου καὶ τίνες περὶ τῶν καθηκόντων διέλαβον. Κεφάλαιον α^ον. Ἐνῆκεν ὁ Θεὸς τῇ τοῦ ἀνθρώπου φύσει» κτλ. Ἐξεδόθη τύποις ἐν Λειψίᾳ ἔτει 1722-ῳ.

**472**. Τεῦχος χάρτινον ἐκ φύλλων α'+55 μήκ. 0,245, πλ. 0,18. Ἐγράφη ἐν τῷ πρώτῳ ἡμίσει τῆς 18-ης ἑκατ. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 28.—«Χρυσάνθου πατριάρχου Ἱεροσολύμων ἀντίρρησις εἰς τὰ ὅσα κακῶς, ψευδῶς καὶ ἀναρμόστως λέγονται εἰς τὸ Προσκυνητάριον τοῦ ὄρους Σινᾶ». Ἀρχ. «Πρόλογος· Ὁ μὲν ὀφθαλμοὺς νόσσων κατάγει δάκρυα», φ. 1 κέ.

**473**. Τεῦχος χάρτινον ἐκ φύλλων 74 μήκ. 0,242, πλ. 0,18. Ἐγράφη ὑπὸ δύο διαφόρων χειρῶν περὶ τὸ τέλος τῆς 17-ης ἑκατ. Ἡ πρώτη ἔγραψε τὰ φύλλα 1-34 καὶ 72-74, ἡ δ' ἑτέρα τὰ φύλλα 35-71. Ἐπὶ τῆς ἄνω ᾤας τῆς προσθίας σελίδος τοῦ φύλλου 1· «Χρυσάνθου ἱεροδιακόνου καὶ δι' αὐτοῦ τῷ Παναγίῳ Τάφῳ». Ἐπὶ τῆς κάτω ᾤας· «+Ἐκ τῶν ἀφιερωθέντων τῷ Παναγίῳ Τάφῳ παρὰ Χρυσάνθου πατριάρχου Ἱεροσολύμων· ὁ δὲ τοῦτο ποτὲ ἀφαιρησόμενος ἐκ τῆς δεσποτείας αὐτοῦ, ἔστω ἀφωρισμένος καὶ ἀναθεματισμένος παρὰ Θεοῦ κυρίου παντοκράτορος καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι. + Ἐν Βουκουρεστίῳ, ,αψκη: Μηνὶ Ἀπριλλίῳ. + +Ὁ Ἱεροσολύμων».

1. Ἰσαὰκ τοῦ Σύρου λόγοι τινές, ὧν πρῶτος ὁ «Περὶ ἀλλοιώσεως τῆς ἐν τῇ ψυχῇ γινομένης ἐν παντὶ καιρῷ τοῦ φωτὸς καὶ τοῦ σκότους, καὶ ἐκβιασμὸς ἐν τοῖς δεξιοῖς καὶ ἀριστεροῖς γινόμενος. Λόγος προσευχῆς δεομένοις. Ἐκ τοῦ μζ' λόγου τοῦ ἁγίου Ἰσαὰκ Σύρου». Ἀρχ. «Ἴδωμεν ὦ ἀγαπητοί», φ. 1-10 (ἴδε Ἰσαὰκ τὰ εὑ-

ρεθέντα ἀσκητικὰ ἐπιμελείᾳ Ν. Θεοτόκου τὸ πρῶτον τύποις ἐκδοθέντα. Ἐν Λειψίᾳ 1750, σ. 344). Περὶ τὸ κείμενον ἐν ταῖς ᾤαις τεμάχη Νείλου, Ἰσαὰκ Σύρου, Ζωσιμᾶ, Βαρσανουφίου, Ζυγαδηνοῦ, Μάρκου (ἐρημίτου), Μαξίμου καὶ Ἰωάννου Χρυσοστόμου. Ἔσχατος λόγος εἰς φ. 10β· «Τοῦ αὐτοῦ ἁγίου Ἰσαὰκ περὶ τοῦ πῶς δεῖ ψάλλειν ἀσυγχύτως. Λόγος νϛ'». Ἀρχ. «Θέλεις τρυφῆσαι ἐν τῇ στιχολογίᾳ» κτλ.

2. «Βαρλαὰμ μοναχοῦ καὶ φιλοσόφου σύντομος καὶ ἀκριβὴς θεολογία περὶ τῆς ἁγίας καὶ ζωαρχικῆς Τριάδος. Ἐρωταποκρίσεις ὡραῖαι περὶ τῆς ὀρθοδόξου πίστεως». Ἀρχ. «Ἐπὶ τῆς θεολογίας πόσας φύσεις» κτλ. φ. 11.

3. «Ἡ δίδυμος τοῦ πνεύματος ἐκπόρευσις», φ. 12α-13α. Μαρτυρίαι διαφόρων συγγραφέων.

4. «Ἐκ τῶν ἄρθρων τῆς ὀρθοδόξου πίστεως». Ἀρχ. «α$^{ον}$. Πρῶτον μὲν οὖν δεῖ πιστεύειν» κτλ., φ. 13β-14α.

5. «Ὁμολογία ἐν ᾗ χρὴ ἐπακολουθεῖν τοὺς μοναχούς, τοὺς τὸ μοναχικὸν σχῆμα λαμβάνοντας». Ἀρχ. «Πιστεύω τὸν υἱὸν τοῦ Θεοῦ μὴ κτίσμα εἶναι» κτλ., φ. 14α.

6. «Ἔκθεσις τῆς ἡμετέρας πίστεως». Ἀρχ. «Ἡμεῖς τοῖς ἱεροῖς ἡμῶν διδασκάλοις ἑπόμενοι» κτλ., φ. 15α.

7. «Περὶ τῶν θείων μυστηρίων καὶ ὅτι οὐ δι' ἀζύμου τὸ μυστήριον ἐποίησεν ὁ Χριστὸς καὶ οἱ αὐτοῦ μαθηταί, ἀλλὰ δι' ἐνζύμου. Πόνος καὶ συλλογὴ ἐκ τῶν θείων Γραφῶν Ἀγγέλου Γρηγορίου». Ἀρχ. «Ἐγώ εἰμι ὁ ἄρτος», φ. 15-26β. Παρεμβάλλονται τῷ κειμένῳ τεμάχη διαφόρων συγγραφέων, οἷον (φ. 19α) «Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου περὶ ἀζύμου καὶ ἐνζύμου συλλογιστικὴ ἀπόδειξις». Ἀρχ. «Φησὶ γὰρ ὁ τῆς νίκης φερώνυμος, ὁ ἐκ τῆς σεβασμίας μονῆς ὢν τῶν Ξανθοπούλων· Ἐπειδὴ κατὰ τὴν Παρασκευὴν τὸ ἑβραϊκὸν πάσχα» κτλ.

8. «Ἀπόδειξις ὅτι οὐκ ἀπέλαβον οἱ ἅγιοι τὴν βασιλείαν τῶν οὐρανῶν, οὔτε οἱ ἁμαρτωλοὶ τὴν κόλασιν, ἀλλ' ἔστι τοῦτο καιροῦ μέλλοντος κατὰ τὰς θείας Γραφάς. Πόνος καὶ συλλογὴ ἐκ τῶν θείων Γραφῶν Ἀγγέλου Γρηγορίου». Ἀρχ. «Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι» κτλ., φ. 27α-34β.

9. «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Μάρκου μητροπολίτου Ἐφέσου λόγος καὶ ἀκριβὴς διάλεξις». Ἀρχ. «Ἐπειδὴ μετὰ ἀγάπης». φ. 35α-64α.

10. «Τοῦ αὐτοῦ ἁγίου» ζητήματα ιδ'. Ἀρχ. «Ζήτημα πρῶτον. Ἐπειδὴ σαφέστερον ἡμᾶς ἀπαιτεῖτε» κτλ., φ. 64α-71β.

11. «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀθανασίου Ἀλεξανδρείας ἐρωταποκρίσεις». Ἀρχ. «Ἐρώτησις. Τί αὐτόχρημά ἐστιν ἡ ψυχή» κτλ., φ. 72α-74β.

**474.** Τεῦχος χάρτινον μήκ. 0,238, πλ. 0,172. Ἀριθμεῖ σελίδας 298. Τὸ κείμενον μονόστηλον. Διάφορα γραψίματα 18-ης ἑκατ. Ἐπὶ φύλλου ἀγράφου εὑρισκομένου εἰς τὴν ἀρχὴν τοῦ τεύχους· «Οἱ εὑρεθέντες λόγοι τοῦ μακαρίτου Δωροθέου, συναχθέντες ἐπιμελῶς ὑπὸ τοῦ μαθητοῦ αὐτοῦ Ἀνανίου». Σελίδες ἄγραφοι· 186-192 καὶ 201-204.

1. «Τοῦ σοφωτάτου ἐν διδασκάλοις κυρίου Δωροθέου τοῦ ἐκ Μιτυλήνης, τοῦ διδασκάλου τῆς ἐν Κ/πόλει ἀκαδημίας, τοῦ ἐκ Μιτυλήνης Δωροθέου, τοῦ ἡμετέρου καθηγεμόνος, εἰς ἅπασαν τὴν τοῦ Κορυδαλέως φυσικὴν πραγματείαν προοίμιον». Ἀρχ. «Πολὺ τοῖς φύσει τῶν ὄντων συνιστῶσι» κτλ., σελ. 1-91.

2. «Τοῦ αὐτοῦ ἀπορία καὶ λύσις εἴς τε τὴν περὶ οὐρανοῦ πραγματείαν καὶ εἰς τὸ προοίμιον τοῦ φιλοσόφου Κορυδαλέως». Ἀρχ. «Εἴρηται πολλάκις ἤδη», σελ. 91-146.

3. «Γράμμα πατριαρχικὸν συνοδικὸν περὶ τοῦ ἐν Κ/πόλει σχολείου. Πόνημα τοῦ σοφωτάτου διδασκάλου κυρίου Δωροθέου Λεσβίου τοῦ καὶ πρωτοσυγκέλλου τοῦ ἁγιωτάτου πατριαρχικοῦ οἰκουμενικοῦ θρόνου». Σιγιλλιῶδες συνοδικὸν γράμμα τοῦ πατριάρχου Παϊσίου 2-ου, οὗ ἡ ἀρχή· «Ὅσα τῶν ἀνθρωπίνων» κτλ., σελ. 147-175. Συνετάχθη μηνὶ Ἰαν. ἔτ. 1748. Μέρος ἐξέδωκεν Ἰωακεὶμ Φορόπουλος· ἴδε Ἐκκλησ. Ἀληθ. τ. Κ', 1900, σ. 343-344.

4. Σχέδιον ἀτελὲς πατριαρχικοῦ γράμματος. Ἀρχ. «Οὐδὲν οὕτως ἰσχυρὸν» κτλ., σελ. 177-185.

5. «Ἐγκώμιον εἰς γάμον· τοῦ σοφωτάτου κυρίου Δωροθέου Λεσβίου». Ἀρχ. «Χαίρειν μὲν εἴπερ ποτὲ ἄξιον», σελ. 193-200.

6. «Ἴσον ἀπαράλλακτον τοῦ πρωτοτύπου πατριαρχικοῦ συνοδικοῦ γράμματος (=Παϊσίου 2-ου) τοῦ εἰς ὄγδοον θρόνον προβιβασμοῦ τῆς ἁγιωτάτης μητροπόλεως Δέρκων. Πόνημα τοῦ σοφωτάτου κυρίου Δωροθέου Λεσβίου, τοῦ καὶ μεγάλου πρωτοσυγκέλλου τῆς Μεγάλης Ἐκκλησίας». Ἀρχ. «Τοὺς τῶν κοινῶν προστατοῦντας», σελ. 205-232. Συνετάχθη μηνὶ Ὀκτωβρ. ἔτ. 1747. Ὑπογραφαί· Ἐφέσου Ἰωακείμ, Ἡρακλείας Γερασίμου, Κυζίκου Ἀνανίου, Νικομηδείας Κυρίλλου, Νικαίας Καλλινίκου, Χαλκηδόνος Γαβριήλ, Προύσης Γρηγορίου, Νεοκαισαρείας Διονυσίου, Ἀθηνῶν Ἀνθίμου, Πισιδίας Κοσμᾶ, Παλαιῶν Πατρῶν Γερασίμου, Λαρίσσης Ἰακώβου, Φιλιππουπόλεως Σεραφείμ, Ῥόδου Ἱερεμίου, Μυτιλήνης Ἀνθίμου, Διδυμοτείχου Αὐξεντίου, Μηθύμνης Ἀρσενίου, Μεσημβρίας Γρηγορίου, Βιδύνης Καλλινίκου, Θηβῶν Ἀθανασίου, Χριστιανουπόλεως Δανιήλ, Ξάνθης Μητροφάνους, Χίου Διονυσίου, Προικονήσου Νικηφόρου.

7. «Προοίμιον λογικῆς». Ἀρχ. «Παντὸς ἀρχομένῳ καὶ λόγου καὶ ἔργου» κτλ., σελ. 233-243.

8. «Δωροθέου πρὸς τοὺς αὐτοῦ μαθητὰς περὶ νηστείας». Ἀρχ. «Ὤμην μέν, ὦ φίλτατοί μου ἀκροαταί», σελ. 244-271.

9. «Τοῦ αὐτοῦ περὶ ἐκεχειρίας». Ἀρχ. «Οὐκ ἀλυσιτελεῖς ἄρα παντάπασιν», σελ. 271-276.

10. «Τοῦ αὐτοῦ ἀπορίαι πρὸς τὴν κατὰ Πυθαγορείους τε καὶ Κοπέρνικον τῆς γῆς κίνησιν». Ἀρχ. «Εἰ κινεῖται ἡ γῆ», σελ. 207-295. Εἶτα «Πίναξ τῶν ἐμπεριεχομένων ταύτῃ τῇ βίβλῳ», σελ. 297-298.

**475.** Τεῦχος χάρτινον ἐκ φύλλων 58 μήκ. 0,23, πλ. 0,17. Ἐγράφη ὑπὸ διαφόρων χειρῶν περὶ τὸ τέλος τῆς 18-ης ἑκατ. Τὸ κείμενον μονόστηλον.

1. «Ἀκολουθίαι εἰς τὸν μέγαν Ἰάκωβον τὸν Ἀδελφόθεον ὀκτώηχοι». Ἀρχ. «Στιχηρά. Ἦχος α΄ πρὸς τὸ *Τῶν οὐρανίων ταγμάτων*. Τὸν ἀδελφόθεον δεῦτε πιστοὶ» κτλ., φ. 1α-34α.

2. «Στιχηρὰ ψαλλόμενα εἰς τὴν μνήμην τῶν ἀοιδίμων πάντων πατριαρχῶν Ἱεροσολύμων». Ἀρχ. «Ἦχος δ΄. *Ὁ ἐξ ὑψίστου κληθεὶς* * *τῆς*.—Τοὺς τῆς Σιὼν ὑμνήσωμεν» κτλ., φ. 35 κέ.

3. «Μηνὶ Ἰαννουαρίῳ κα' μνήμην ἐπιτελοῦμεν τῶν κεκοιμημένων κληρικῶν τῆς Ἁγίας Ἀναστάσεως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν». Ἀσματικὴ ἀκολουθία. Ἀρχ. «Ἑσπέρας εἰς τὸ *Κύριε ἐκέκραξα* στιχηρά· ἦχος πλ. β' πρὸς τὸ *Ὡς ἀγγελικαί*. Ἀρξώμεθα θρηνεῖν» κτλ., φ. 46β κέ.

4. «Στιχηρὰ ψαλλόμενα εἰς τὴν παννυχίδα τῶν ἁγίων πατέρων ἡμῶν, ἀρχιερέων, ἱερέων καὶ διακόνων τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν Ἀναστάσεως, τῶν ἐκδημησάντων». Ἀρχ. «Ἦχος δ'. Κατὰ ἀλφάβητον. Πρὸς τὸ *Ἤθελον δάκρυσιν*. Στίχος. *Ἀντιπόδος τῷ δούλῳ σου*.—Ἅπαντες δεῦτε πιστοὶ συμφώνως» κτλ., φ. 51α κέ.

5. «Ἕτερος κανὼν ἀναπαύσιμος εἰς ἱερεῖς, φέρων ἀκροστιχίδα τήνδε· Ἱερεῖς καὶ λειτουργοὶ Σιών, αἰνῶ τὴν μνήμην». Ἀρχ. Ὠδὴ α'. Ἦχος β'. *Δεῦτε λαοί*.—Ἱερουργοὶ * τῶν μυστηρίων» κτλ., φ. 53β κέ.

6. «Ἕτερα στιχηρὰ ψαλλόμενα εἰς κοιμηθέντας ἱερεῖς». Ἀρχ. «Ἦχος πλ. α' πρὸς τὸ *Ἐκύκλωσέ με ἄβυσσος*. Κατὰ ἀλφάβητον.—Ἀνάπαυσον, σωτὴρ ἡμῶν» κτλ., φ. 56α κέ.

7. «Εἶτα ἄρχονται τῆς θείας ἐκτενοῦς ἱκεσίας». Ἀρχ. «Ὁ ἱερεύς. Ἔτι ἐκτενῶς - - - Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀειμνήστων - - - Ἰακώβου» κτλ. Ἀναγραφὴ τῶν ἐπισκόπων καὶ πατριαρχῶν Ἱερουσαλήμ, ἧς τὸ τέλος ἔχει ὧδε· «Γερμανοῦ, Σωφρονίου, Θεοφάνους, Παϊσίου, Νεκταρίου, Δοσιθέου, Χρυσάνθου. — Μέχρις ὧδε περιεῖχε τὸ εὑρεθὲν βιβλίον ἐν τῇ βιβλιοθήκῃ».

**476**. Τεῦχος χάρτινον τῆς 18-ης ἑκατ. ἐκ φύλλων 111 μήκ. 0,232, πλ. 0,178.

1. «Προλεγόμενα τῆς μεταφυσικῆς, τὰ κατ' αὐτὴν εἰς πλάτος διεξιόντα καὶ προδιαλευκαίνοντα». Ἀρχ. «Καλῶς ἄγαν καὶ λυσιτελῶς», φ. 1-4.

2. «Μεταφυσικὴ Ἀντωνίου Γενουενσίου ἐκλεκτικοῦ φιλοσόφου, μεταφρασθεῖσα εἰς τὴν ἑλληνίδα διάλεκτον ἐκ τῆς λατινίδος παρὰ Εὐγενίου». Ἀρχ. «Στοιχεῖα τῆς μεταφυσικῆς. Πρόλογος. Τὴν μετα-

φυσικὴν εἰς δύο οἱ σοφοὶ διαιροῦνται». κτλ. φ. 109β. Ἐξεδόθη τύποις ἐπιστασίᾳ Σ. Βλαντῆ Ἑνετίῃσιν ἔτει 1805-ῳ.

3. (Γράψιμον ἑτέρου φ. 110-111). «Ἐπιστολὴ πρὸς τὸν ἅγιον Ἰωάννην τὸν εὐαγγελιστὴν καὶ ἀπόστολον ἀπονεμηθεῖσα τῷ μακαριωτάτῳ Ἰγνατίῳ».— «Ἰωάννῃ γέροντι ὁ ἑαυτοῦ Ἰγνάτιος».—«Ἐπιστολὴ πρὸς τὴν ἁγίαν παρθένον Μαρίαν» κτλ. Μετ' αὐτήν· «Αἱ ἐπιστολαὶ αὗται μετεφράσθησαν ἀπὸ τῆς λατινίδος· εὑρέθησαν δὲ λατινιστὶ ἐντετυπωμέναι εἰς βιβλίον ἐντετυπωμένον κατὰ ἔτος ͵αχπ».

**477.** Τεῦχος μεμβράνινον, οὗ τὸ στάχωμα παλαιὸν ὂν περικαλύπτει δέρμα φέρον ἔκτυπά τινα κοσμημάτια. Ἀριθμεῖ φύλλα 183 (μήκ. 0,232, πλ. 0,163), ὧν ἄγραφον τὸ 180-όν· ἄγραφα παλαιόθεν ἦσαν τὰ τρία πρῶτα, τὸ πέμπτον καὶ τὰ ἔσχατα δύο· ταῦτα μέντοι πάντα χεὶρ τῆς 16-ης ἑκατ. ἐπλήρωσε διαφόροις κειμένοις καὶ σημειώμασι. Τὸ κύριον τοῦ τεύχους κείμενον ἄρχεται ἀπὸ τοῦ 4-ου φύλλου· ἔστι δὲ τοῦτο μονόστηλον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ γραμμὰς ἀριθμοῦν 28 καὶ χῶρον ἐν ταῖς σελίσι κατέχον 0,157×0,10. Ἡ γραφὴ ἐπιμελὴς οὖσα ἐγένετο ἔτει 1330-ῷ· ἴδε φ. 179β, ἔνθα ὁ καλλιγράφος ἐσημειώσατο τὸ «Θ(εο)ῦ τὸ δῶρον, καὶ Χαρίτωνος πόνος. ͵ςωλω μηνὶ Ἰουλίω, ζη. Δημήτριος» [1]. Σημειώματα μεταγενέστερα μνήμης ἄξια.—α') Ἐν φ. 1β σημείωμα 14-ης ἑκατ. ἡγουμένου μονῆς τινὸς περὶ τοῦ τεύχους τούτου, ὅμως δὲ σχεδὸν ὅλον ἀπεξεσμένον.— β') Ἐπὶ τῆς ἄνω ᾤας τοῦ φ. 179β· «✝ Τὸ παρὸν βιβλίον. ἤτοι τοῦ Κλίμακος, τοῦ τῆς Μεγάλης Ἐκκλησίας ῥήτορος Ἰωάννου τυγχάνει». Εἶτα· «καὶ διὰ κληρονομίας χαμοῦ Λασκάρεως πρωτονοταρίου: — καὶ διὰ χάριν ἐμοῦ Δημητρίου» [2]. — γ') Ἐν τῷ 5-ῳ φύλλῳ· «Καὶ τόδε πρὸς τοῖς ἄλλοις ὑπάρχει τὸ παρὸν βιβλίον τοῦ ταπεινωτάτου καὶ σωφρονεστάτου ἁγίου Πτολεμαΐδος κυρίου κυρίου Σωφρονίου τοῦ ἐκ τῆς Συρίας. εὐλαβῶς καὶ προσκυνητῶς Παρθένιος. 1758: Μαΐου γη».

Κείμενα πρόσθετα ἐν τοῖς φύλλοις, ἃ πρότερον ἦσαν ἄγραφα· α') Ἀνωνύμου «περὶ ψυχῆς ἀπορίαι καὶ λύσις». Ἀρχ. «Ἡρώτη-

1 Τὸ «Δημήτριος» ὄνομα πρόσθετον.

2 Οὗτος ἔγραψε τὸ ἑαυτοῦ ὄνομα καὶ ἐπὶ τῆς κάτω ᾤας τοῦ φύλλου 113 οὕτω· «Δημητρίου πρωτοκανονάρχου».

σας περὶ τῆς ἀπολυομένης ψυχῆς τοῦ σώματος» κτλ., φ. 2α.—β') Ἐπιστολή, ἧς ἡ ἀρχή· «Θαυμαζόμεθα τοῖς πολλοῖς, ἀλλὰ τὸ θαυμάζεσθαι» κτλ. φ. 2α (ἴδε Theodori Ducæ Lascaris epistulæ ed. N. Festa. Firenze 1898, σ. 53)· ἄνωθεν δὲ ταύτης ἐπιγραφή· «+ Τοῦ σοφωτάτου βασιλέως κῦρ Θεοδώρου τοῦ Δούκα τοῦ Λάσκαρι. ἐπιστολαὶ πρὸς τὸν ἁγιώτατον καὶ μέγαν ἐν φιλοσόφοις κῦριν Νικηφόρον τὸν Βλεμμίδη μετὰ τὴν τῆς βασιλείας ἐντελέχειαν».—γ') Σημείωμα ἐν τῷ φ. 3α ἔχον ὧδε· «Ἡ εἰς τὸν Φευρουάριον μῆνα ἔρχονται οἱ Ἁγιορῆται μετὰ τοῦ αὐθεντικοῦ χαρατζίου διὰ ξηρᾶς, ἢ τὸν Ἀπρίλλιον, καὶ τότε μετ' αὐτῶν θεοῦ συνάρσει πορευθήσομαι εἰς τὸ Ἅγιον Ὄρος». Εἶτα «Κατασκευὴ τοῦ ποιῆσαι χρυσᾶ γράμματα». Ἀρχ. «Βαλὼν χρυσάφιν κουκὴν ἕν, ὡς σῖτον καὶ διάργυρον κουκὴν ἕν» κτλ.— δ') Στίχοι εἰς τὸ Ψαλτήριον ἀνεπίγραφοι, ὧν ἡ ἀρχή· «Ἡ δαυιτικὴ τῶν μελισμάτων χάρις» κτλ. — ε') Ἐν ταῖς σελίσιν 181β, 182α, 183β διάφορα σημειώματα καὶ τεμάχη συγγραφέων ἐκκλησιαστικῶν.

Κύριον τοῦ τεύχους κείμενον· Ἰωάννου τοῦ τῆς Κλίμακος πνευματικαὶ πλάκες. Ἀπὸ φ. 4α «Προθεωρία τῆς ἁγίας Κλίμακος», ἧς ἡ ἀρχή· «Ὁ τὴν ἰσάριθμον» κτλ. Εἶτα «Πίναξ ἐναργὴς τῆς γραφῆς τοῦ βιβλίου». — Φύλλ. 6α-9β «Βίος ἐν ἐπιτομῇ τοῦ μακαρίου Ἰωάννου τοῦ καθηγουμένου τοῦ ἁγίου ὄρους Σινᾶ, τοῦ λεγομένου Σχολαστικοῦ, τοῦ καὶ συγγραψαμένου τὰς πνευματικὰς ταύτας πλάκας, ἤγουν τὴν Ἁγίαν Κλίμακα». Ἀρχ. «Ἥτις μὲν ἐστιν ἡ τὸν θεῖον τοῦτον ἄνδρα ἐνεγκαμένη πόλις» κτλ. Περὶ τὸ κείμενον τοῦ βίου τούτου σχόλια. — Φύλλ. 9β «Ἐπιστολὴ τοῦ ἀββᾶ Ἰωάννου» κτλ. Ἀρχ. «Γινώσκοντες ἡμεῖς οἱ εὐτελεῖς» κτλ. — Φύλλ. 10β «Ἐπιστολὴ ἀμοιβαία. Ἰωάννης Ἰωάννῃ χαίρειν. Ἀπεδεξάμην» κτλ. — Φύλλ. 12α-179β τὸ κείμενον τῶν λόγων Ἰωάννου τοῦ τῆς Κλίμακος καὶ σχόλιά τινα πέριξ αὐτοῦ.

**478**. Τεῦχος ἐκ φύλλων 152 μήκ. 0,228, πλ. 0,17. Τὰ φύλλα 1-142 ἐκ χάρτου βομβυκίνου· τὰ λοιπὰ ἐκ χάρτου συνήθους τῆς 14-ης ἑκατ. Τὸ κείμενον μονόστηλον· ἐγράφη δὲ τοῦτο ὑπὸ τριῶν διαφόρων χειρῶν 13-ης ἑκατ. (Φύλλ. 1-64 ἐκ γραμμῶν 19-26.

Φόλλ. 65-128 ἐκ γραμμῶν 33-35. Φύλλ. 129-142 ἐκ γραμμῶν 26-27). Ἐν τῇ σελίδι 44β, ἥτις ἦν ἐξ ἀρχῆς ἄγραφος, ἐσχεδιάσθη διὰ μέλανος ἐν τῇ 14-η ἑκατ. εἰκὼν γυναικὸς κρουούσης ὄργανον μουσικόν· ἑκατέρωθεν αὐτῆς ἡ ἐπιγραφή· «+Φράγκησα: - πεζη άρπα».

1. Νείλου ἀνεπίγραφον. Ἀρχ. «Ἀρχὴ καρποφορίας (ἄν)θος καὶ ἀρχὴ πρακτικῆς ἐγκράτεια», φ. 1α-13β (Migne, Patr. Gr. τ. 79, σ. 1145 κέ). Ἄνωθεν τῆς ἀρχῆς ἐπιγραφὴ πρόσθετος· «Διαδ?. . . . ιαφόρων περὶ τῶν τῆς βιοτικῆς πονηρίας πνευμάτων».

2. «(Τ)οῦ αὐτοῦ περὶ λογισμῶν κεφάλαια κγ'». Ἀρχ. «Τῶν ἀντικειμένων δαιμόνων» κτλ., φ. 13β-30. Migne ἔνθ. ἀ. σ. 1200.

3. «Τοῦ αὐτοῦ ἁγίου πατρὸς ἡμῶν Νείλου κεφάλαια διάφορα οε'». Ἀρχ. «Φόβον ἔχε καὶ πόθον», φ. 30β-35α.

4. «Τοῦ αὐτοῦ γνῶμαι ἀπάγουσαι τῶν φθαρτῶν καὶ κολλῶσαι τοῖς ἀφθάρτοις τὸν ἄνθρωπον». Ἀρχ. «Ὁδὸς εἰς ἀρετὴν ἡ τοῦ βίου φυγὴ» κτλ., φ. 35α-40β. Γνῶμαι ρ'. Migne ἔνθ. ἀν. σ. 1240-1249.

5. «Σκέμματα τοῦ ἁγίου Νείλου» ιε'. Ἀρχ. «Εἴ τις βούλοιτο εἰδεῖν τὴν τοῦ νοῦ κατάστασιν», φ. 40β-42β.

6. «Τοῦ αὐτοῦ κεφάλαια διάφορα ν'». Ἀρχ. «ā Ὁ Χριστὸς ᾗ μὲν ἐστὶ Χριστός, ἔχει τὴν γνῶσιν» κτλ., φ. 42β-48.

7. «Τοῦ αὐτοῦ παραίνεσις πρὸς μοναχούς». Ἀρχ. «Ἀκρασίαν βρωμάτων περικόπτει νηστεία», φ. 48β-51β. Migne ἔνθ. ἀν. σ. 1236.

8. «Τοῦ ἁγίου πατρὸς ἡμῶν Νείλου κεφάλαια περὶ προσευχῆς» ρνγ'. Ἀρχ. «Εἴ τις βούλοιτο εὐῶδες θυμίαμα», φ. 52α-67β. Migne ἔνθ. ἀν. σ. 1168-1200.

9. «Τοῦ μακαρίου ἀββᾶ Μάρκου π(ερὶ μετανοίας τοῖς πᾶσι) πάντοτε προσηκούσης (εἰς τὴν δύναμιν τῆς ἐνεργείας, ἣν οἱ πιστοὶ καὶ πρὸ) τῆς ἐργασίας διὰ τοῦ βαπτίσματος ἔλ(αβον)». Ἀρχ. «Ἐπειδὴ πολλάκις ἠβουλήθητε», φ. 68α-87α. Migne ἔνθ. ἀν. σ. 905-929.

10. «Τοῦ αὐτοῦ περὶ τῶν οἰομένων ἐξ ἔργων δικαιοῦσθαι: - Λόγος γ'». Ἀρχ. «Ἡ τῶν ἔξωθεν κακοπιστία», φ. 84α-96α. Migne αὐτ. σ. 920 κέ.

11. «Τοῦ αὐτοῦ συμβουλία νοὸς πρὸς τὴν ἑαυτοῦ ψυχήν. Λόγος δ'». Ἀρχ. «Ἄκουε ψυχὴ λογικὴ» κτλ., φ. 96α-99α. Migne αὐτ. σ. 1104 κἑ.

12. «Ἐρώτησις περὶ τοῦ ἁγίου βαπτίσματος. Λόγος ε'». Ἀρχ. «Ἐπειδὴ οἱ μὲν τέλειον λέγουσιν εἶναι» κτλ., φ. 99α-117α. Migne αὐτ. σ. 985 κἑ.

13. «Τοῦ αὐτοῦ μακαρίου ἀββᾶ Μάρκου τῷ περιποθήτῳ τέκνῳ Νικολάῳ. Λόγος ς'». Ἀρχ. «Ἐπειδή περ πρώην», φ. 117α-126β. Migne σ. 1028 κἑ.

14. «Λόγος ζ'. Τοῦ αὐτοῦ μακαρίου ἀββᾶ Μάρκου περὶ διαίτης μοναχῶν». Ἀρχ. «Προσήκει τοὺς ἀσκοῦντας» κτλ., φ. 126β-128β. Migne αὐτ. σ. 1109 κἑ.

15. «Τοῦ αὐτοῦ πατρὸς ἡμῶν Μάρκου ἀντιβολὴ πρός τινα σχολαστικόν». Ἀρχ. «Ἠρώτησέ τις τῶν ἐλλογίμων δικανικὸς» κτλ., φ. 129α-142β. Migne αὐτ. σ. 1072 κἑ.

16. (Προσθήκη 14-ης ἑκατοντ.) Κείμενον μονόστηλον ἐκ γραμμῶν 35-36). «Ἐγκώμιον εἰς τοὺς ἁγίους τρεῖς πατέρας καὶ διδασκάλους ἡμῶν Βασίλειον, Γρηγόριον τὸν Θεολόγον καὶ Ἰωάννην τὸν Χρυσόστομον, συγγραφὲν παρὰ Ἰωάννου μητροπολίτου Εὐχαΐτων». Ἀρχ. «Πάλιν Ἰωάννης», φ. 143α-152. Io. Euchaitorum quae ---supersunt; ed. P. de Lagarde. Gottingae 1882, σ. 106 κἑ.

**479**. Τεῦχος χάρτινον ἐκ φύλλων 415 μήκ. 0,233, πλ. 0,17. Ἐγράφη διὰ χειρὸς λογίου τινὸς ἐπιμελῶς περὶ τὸ τέλος τῆς 15-ης ἑκατ. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 24 (0,153×0,10). Ἐπὶ τῆς ᾤας τοῦ φ. 6α· «Πέλει καὶ τοῦτο σὺν ἄλλοις καλῶς Λαρίσσης Διονυσίου, καὶ τῶν φίλων». Ἡ γραφὴ τοῦ σημειώματος τούτου 17-ης ἑκατ. Ἐπὶ τῆς ὀπισθίας σελίδος τοῦ φ. 1 ἐπίγραμμα·

Ἄνθρωπε, γυμνώθητι τὴν βίβλον βλέπων·
νοημάτων γάρ ἐστι βυθὸς ἐνθέων,
ὃν οὐκ ἐφικτὸν οὐδενὶ πλεῖν ἀβρόχως,
πρὶν ἐξενεγκεῖν τῆς ψυχῆς τὰ φορτία.
Θ: Π:

Ἐπιγραφὴ τοῦ τεύχους ὑπὸ κόσμημα ταινιοειδὲς χρώματος ἐρυθροῦ (φ. 6α)· «Ἰωσὴφ μοναχοῦ, ᾧ Βρυέννιος τὸ ἐπώνυμον, ὁμιλίαι διάφοροι, ῥηθεῖσαι ἐν Κωνσταντινουπόλει, ἐπὶ τῆς βασιλείας Μανουὴλ τοῦ Παλαιολόγου καὶ σοφωτάτου, καὶ πατριαρχείας Ἰωσὴφ τοῦ ἁγιωτάτου. Λόγος α^{ος} περὶ τῆς ὑπερθέου Τριάδος· εἴρηται δὲ ἐν τῷ τοῦ παλατίου τρικλίνῳ». Ἀρχ. «Θεὸς ἡ ἁγία μονὰς» κτλ. Λόγοι 47, ὧν ὁ ἔσχατος ἐπιγέγραπται οὕτω· «Τοῦ αὐτοῦ λόγος συμβουλευτικὸς περὶ τῆς ἑνώσεως τῶν Ἐκκλησιῶν, τῆς μελετωμένης γενέσθαι κατ' ἐκεῖνο καιροῦ· εἴρηται δὲ ἐν τῷ συνοδικῷ τῆς τοῦ Θεοῦ Μεγάλης Ἐκκλησίας. Λόγος μζ'». Ἀρχ. «Θεὸς ὁ πάντα μεταποιῶν», φ. 401α. Ἴδε Ἰωσὴφ Βρυενίου τὰ εὑρεθέντα δι' ἐπιμελείας Εὐγενίου τοῦ Βουλγάρεως ἐκδοθέντα. Ἐν Λειψίᾳ 1768, τ. 1, σ. 1-500. Τὸ ἐπίγραμμα, ἄνευ τῆς ὑπογραφῆς, προεξέδωκεν ὁ αὐτὸς Βούλγαρις ἐν τοῖς Βρυεννίου Παραλειπομένοις. Ἐν Λειψίᾳ 1784, σ. κ'.

**480**. Τεῦχος χάρτινον ἐκ φύλλων 103 μήκ. 0,238, πλ. 0,168. Ἐγράφη περὶ τὴν δευτέραν δεκάδα τῆς 19-ης ἑκατ. Τὸ κείμενον μονόστηλον. [Βενιαμὶν τοῦ Λεσβίου] «Στοιχεῖα ἀλγέβρας». Ἀρχ. «Κεφάλαιον α^{ον}. Περὶ τῆς ἀλγέβρας γενικῶς. — § 1. Ποσότης ὀνομάζεται» κτλ.

**481**. Τεῦχος χάρτινον ἔτους 1747-ου, ἐκ φύλλων 316 μήκ. 0,235, πλ. 0,17. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 24 (0,156× 0,09). Εἰς φ. 1α «Τριὰς ἡγεμὼν εἴης τῷδε τῷ πόνῳ». Εἶτα κόσμημα μέλαν τετραγώνου σχήματος παραλληλογράμμου, μεθ' ὃ ἡ τοῦ κειμένου ἐπιγραφή· «Τοῦ σοφωτάτου καὶ λογιωτάτου Θεοφίλου Κορυδαλέως τοῦ Ἀθηναίου εἰς τὰ περὶ ψυχῆς τοῦ Ἀριστοτέλους βιβλία ὑπομνήματα». Ἀρχ. «Προλεγόμενα ἐν τῷ περὶ ψυχῆς βιβλίῳ α^{ῳ}. Τὸ φυσικὸν τῆς θεωρίας μέρος» κτλ. Μετὰ τὸ πέρας τοῦ κειμένου· «Δῶρον προνοίας καὶ πόνος Ἰωάννου. Ἐν ἔτει ͵αψμζ^{ῳ}. Ἀνθεστηριῶνος τρίτη φθίνοντος».

**482**. Τεῦχος χάρτινον τῆς 18-ης ἑκατ. μήκ. 0,23, πλ. 0,172. Σελίδες ἠριθμημέναι 586. Αἱ σελίδες 575-586 σχηματίζουσι τετράδιον παλαιότερον γεγραμμένον περὶ τὸ τέλος τῆς 17-ης ἑκατ.

Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 25. Ἐν τῇ 1-η σελίδι· «+Ὁ Ἱεροσολύμων Ἀθανάσιος. τῆς ἱερᾶς βιβλιοθήκης τοῦ Παναγίου Τάφου καὶ ὁ ἀφαιρήσας ἐπικατάρατος». Ἐν τῇ σελ. 574· «+ Ἐκ τῶν τοῦ Κωνσταντίνου υἱοῦ τοῦ Νικολάου Τεννεδίου +». Εἶτα· «Νῦν δὲ Νεοφύτου τοῦ ἐκ Ζαγορᾶς πέφυκεν. 1750 27 Φευρουαρίου. ἀρχὴ καὶ τῆς τῆς φυσικῆς ἀναγνώσεως· τέλος ἐγένετο κατὰ τὸ 1753 Μαρτίου 17 καὶ πάλιν ἀρχὴ εἰς τὴν φυσικὴν: 1753 Δεκεμβρίου 8. ὁ κυρ Δωρόθεος: ὁ Πέτρας καὶ οἱ λοιποὶ μαθηταί».

1. «Εἰς φιλοσοφίαν προδιοίκησις τοῦ σοφωτάτου Θεοφίλου Κορυδαλέως τοῦ Ἀθηναίου, ὁποῖον τὸ τῆς φιλοσοφίας ἀξίωμα». Ἀρχ. «Τῶν ὅσα θηράσιμα» κτλ., σελ. 1-574.

2. «Θεοφίλου τοῦ Κορυδαλλέως διαίρεσις τῆς ποιητικῆς καὶ τίσιν ἕκαστον τούτων διαφέρει». Ἀρχ. «Ἔοικε τοιγαροῦν τῶν θειοτάτων εἶναι ἡ ποίησις» κτλ., σελ. 575-586.

**483**. Τεῦχος χάρτινον ἔτους 1813-ου, ἐκ φύλλων 259 μήκ. 0,237, πλ. 0,168.— «Θεοτοκάριον τῶν ὀκτῷ ἤχῶν. κανόνες τῆς ὑπεραγίας Θεοτόκου». Ἀρχ. «Τῷ Σαββάτῳ ἑσπέρας. Ὠδὴ α'. Ἦχος α'. *Σοῦ ἡ τροπαιοῦχος*. Πάντων καὶ ἀγγέλων καὶ βροτῶν» κτλ. Μετὰ τὸ πέρας τοῦ κειμένου (φ. 259$^{β}$)· «Ἐτελειώθει τὸ παρὸν Θεοτοκάριον. δὶα χειρὸς χαμοῦ Σαμουὴλ τάχα καὶ ἱερομονάχου, τοῖς λόγοις, οὐχὶ τοῖς ἔργοις. ἐν τῇ θεία καὶ ἱερᾷ βασιλικοτάτη λαύρα τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα τοῦ ἡγιασμένου. ἐν ἔτει χιλίους ὀκτακοσίους δέκα τρεῖς».

**484**. Τεῦχος χάρτινον (μήκ. 0,235, πλ. 0,168) ἐκ σελίδων ἠριθμημένων 599. Τὸ κείμενον μονόστηλον· ἐγράφη κατὰ τὴν πρώτην δεκάδα τῆς 19-ης ἑκατ. — Μαξίμου Συμαίου «Ἱερὰ ἱστορία τῶν Ἱεροσολύμων», σ. 1-204. — «Περὶ τῶν ἐν Ἱεροσολύμοις πατριαρχευσάντων», σ. 205-444. — «Περὶ τῆς πόλεως τοῦ μεγάλου βασιλέως», σ. 445-530. — «Πίναξ τῶν ἐμπεριεχομένων τῇ παρούσῃ βίβλῳ κατὰ ἀλφάβητον».

**485**. Τεῦχος χάρτινον ἐκ φύλλων 508 μήκ. 0,227, πλ. 0,162. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 23 (0,17×0,10). Ἐγράφη ἐν τῷ πρώτῳ τετάρτῳ τῆς 18-ης ἑκατ. — [Θεοφίλου Κορυδαλλέ-

ως ὑπόμνημα εἰς τὰ φυσικὰ τοῦ Ἀριστοτέλους]. Ἀρχ. «Εἰς φιλοσοφίαν προδιοίκησις· ὁποῖον τὸ τῆς φιλοσοφίας ἀξίωμα. Τῶν ὅσα θηράσιμα πέφυκε» κτλ. Μετὰ τὸ πέρας τοῦ κειμένου· «Τέλος τῶν ὀκτὼ τῆς φυσικῆς ἀκροάσεως βιβλίων, τῷ δὲ Θεῷ ἡμῶν δόξα πολλή, καὶ χάρις ἄπειρος. ἀμήν :· παρὰ Γερβασίου προηγουμένου τοῦ Βαζελοῦ, τοῦ Τραπεζουντίου, υἱοῦ Συμεών, τοῦ ἐν σπουδαίοις ἐλαχίστου». Περὶ τοῦ Γερβασίου τούτου ἴδε Ἐ. Θ. Κυριακίδου Βιογραφ. τῶν ἐκ Τραπεζοῦντος--- λογίων. Ἐν Ἀθήναις 1897, σ. 82.

**486**. Τεῦχος χάρτινον τῆς 18-ἑκατ. ἐκ φύλλων 152 μήκ. 0,235, πλ. 0,16. Δύο διάφοροι γραφαὶ σύγχρονοι.

1. «Θεματογραφία τοῦ σοφωτάτου διδασκάλου τῆς ἐν Κωνσταντινουπόλει σχολῆς, τοῦ ἐκ Μιτυλήνης Δωροθέου, τοῦ ἡμετέρου καθηγεμόνος». Ἀρχ. «Εἰς τὸ πρῶτον εἶδος. Ὅποιος ἐπιθυμεῖ τὴν προκοπήν του», φ. 1α-126β.

2. «Ἶσον ἀπαράλλακτον τοῦ πρωτοτύπου πατριαρχικοῦ συνοδικοῦ γράμματος τοῦ εἰς ὄγδοον θρόνον προβιβασμοῦ τῆς ἁγιωτάτης μητροπόλεως Δέρκων. Πόνημα τοῦ σοφωτάτου Δωροθέου Λεσβίου, τοῦ καὶ μεγάλου πρωτοσυγκέλλου τῆς Μεγάλης Ἐκκλησίας». Ἀρχ. «Τοὺς τῶν κοινῶν προστατοῦντας» κτλ., φ. 127α-138β. Ἴδε ἀνωτ. σελ. 40.

3. Γράμμα συνοδικὸν περὶ τοῦ ἐν Κ/πόλει σχολείου (1748). Ἀρχ. «Ὅσα τῶν ἀνθρωπίνων» κτλ., φ. 138β-149α. Ἴδε ἀνωτ. σ. 39.

4. Σχέδιον ἀτελὲς πατριαρχικοῦ γράμματος. Ἀρχ. Οὐδὲν οὕτως ἰσχυρὸν» κτλ., φ. 149β-152β.

**487**. Τεῦχος ἐκ φύλλων κοινοῦ χάρτου 11 καὶ ἑτέρων 267 ἐκ χάρτου βομβυκίνου μήκ. 0,233, πλ. 0,16. Ἡ γραφὴ τῶν πρώτων ἕνδεκα φύλλων ἐγένετο περὶ τὸ μέσον τῆς 16-ης ἑκατ., ἡ δὲ τῶν λοιπῶν βομβυκίνων περὶ τὸ τέλος τῆς 13-ης ἑκατ. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 32-34.—[Θεοδώρου Προδρόμου] ἀκέφαλος ἑρμηνεία εἰς κανόνας ᾀσματικοὺς Κοσμᾶ καὶ Ἰωάννου Δαμασκηνοῦ. Ἀρχ. «*Σοῦ ἡ τροπαιοῦχος δεξιὰ θεοπρεπῶς* κτλ. Ὅτι μὲν οἱ υἱοὶ Ἰσραὴλ καὶ δι' ἣν αἰτίαν κατῆλθον εἰς Αἴγυπτον» κτλ. Τὸ τέλος τοῦ κειμένου (φ. 278) σχηματίζει σταυρὸν μέσον τοῦ

σημειώματος τούτου· «+ Ὁ γράψας τὴν δέλτον ταύτην Θεόδωρος ὁ Βλεμμίδης».

**488**. Τεῦχος χάρτινον ἔτ. 1720-οῦ, ἐκ φύλλων 233 μήκ. 0,225, πλ. 0,17. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 23-24. Σελίδες ἄγραφοι· 4β-8β.—Μαξίμου Πελοποννησίου διδαχαὶ 35 μετὰ προλόγου τοῦ συγγραφέως· ὁ πίναξ αὐτῶν μεταξὺ τῶν σελίδων 3β-4α. Ἀπὸ φ. 9 ἡ ἀρχὴ τῶν διδαχῶν· «Τοῦ σοφωτάτου καὶ λογιωτάτου Μαξίμου ἱερομονάχου τοῦ Πελοποννησίου διδαχὴ πρώτη εἰς τὴν Κυριακὴν πρὸ τῶν Φώτων. Εὐλόγησον πάτερ. Ἀρχὴ τοῦ Εὐαγγελίου Ἰησοῦ Χριστοῦ υἱοῦ τοῦ Θεοῦ. Ἂν εἶναι καὶ ἕνας ὁποῦ θέλει νὰ κάμῃ» κτλ. Μετὰ τὸ πέρας τῆς ἐσχάτης διδαχῆς· «Τὸ παρὸν εἴλιψε τέρμα ἐκ χειρὸς ἐμοῦ τοῦ Ἱεροθέου, ὄντος μου ἔνδον εἰς τὸν Ἅγιον καὶ Ζωοδόχον Τάφον ἐφημέριος ‚αψκ'» [1].

**489**. Τεῦχος χάρτινον ἔτους 1741-ου, ἐκ φύλλων 644 μήκ. 0,232, πλ. 0,167, βεβλαμμένον ὑφ' ὕδατος. Ἐν τῷ ἐσχάτῳ φύλλῳ· «Ἐτελειώθη ἡ παροῦσα βίβλος ἡ λεγομένη Παπαδική, παρ' ἐμοῦ Νεοφύτου ἱερομονάχου ἐξ Ἰωανίνων, ἐνέτει ‚αψμα' Ἀπριλλίου κδ'». Ἐπὶ τῆς ἄνω ᾤας τοῦ φ. 1α· «Ἀφιερώθη καὶ τόδε εἰς τὴν βιβλιοθήκην τοῦ Π. Τάφου παρὰ τοῦ ἀρχιμ(ανδρίτου) κ. Γερμανοῦ Ἀφθονίδου ἐν ἔτει 1880 Ὀκτωβρίου γ'».

1. Διάφοροι μέθοδοι πρὸς ἐκμάθησιν τῆς ἐκκλησιαστικῆς μουσικῆς· οἷον α') «Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τῶν σημαδίων τῆς παπαδικῆς τέχνης» κτλ., φ. 1α. — β') Ὁ τροχὸς Ἰωάννου Κουκουζέλη, φ. 4β. — γ') Δένδρον παραλλαγῆς, φ. 5α. — δ') «Ἡ σοφωτάτη παραλλαγή», φ. 5β. — ε') Μαθήματα διαφόρων, οἷον (ἐν φ. 7α) Γρηγορίου Μπούνη Ἀλυάτου. — ϛ') «Ἑτέρα μέθοδος τῶν νενανεσμάτων καὶ τερεντισμάτων· ποίημα κὺρ Ξένου τοῦ Κορώνη καὶ πρωτοψάλτου τῆς Ἁγίας Σοφίας. Ἦχος πλάγιος β'». φ. 8β. Εἶτα ἑξῆς ἕτεροι μέθοδοι ἄχρι φύλλου 21. Τὰ κατόπι δύο φύλλα (22 καὶ 23) ἄγραφα.

2. Παπαδικὴ ἀρχομένη ἀπὸ τοῦ μεγάλου ἑσπερινοῦ (φ. 24-

[1] Ὁ βιβλιογράφος Ἱερόθεος καὶ μετὰ τὸ πέρας τοῦ προλόγου ἔγραψε τοῦτο· «‚αψκ Ἰουνίου ιβ. ἔνδον τοῦ Ἁγίου Τάφου».

644) καὶ περικλείουσα συνθέσεις διαφόρων μελοποιῶν, οἷον Μανουὴλ Χρυσάφη, Ἰωάννου Κλαδᾶ, Κοντοπετρῆ, Ξένου Κορώνη, Γεωργίου Σγουροπούλου, Δημητρίου Δοκιανοῦ, Ἀγαλλιανοῦ, Ἰωάννου Κουκουζέλη, Ἀθανασίου μοναχοῦ, Γενναδίου τοῦ ἐξ Ἀγχιάλου, Μπαλασίου καὶ ἑτέρων, ἔτι δὲ μέλος Ἁγιοσοφιτικόν.

**490**. Τεῦχος μεμβράνινον τῆς 12-ης ἑκατ. ἐκ φύλλων 210 μήκ. 0,215, πλ. 0,172. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 24. — Τετραευαγγέλιον ἐλλιπὲς καὶ κολοβόν, μεθ' ὑποθέσεων, πινάκων τῶν κεφαλαίων ἑκάστου εὐαγγελίου, τριῶν κοσμημάτων (φ. 61α, 96α, 174α), στηλῶν (ἐγκόσμων μὲν ἀλλ' ἐφθαρμένων) τῶν κανονίων (φ. 3-7) καὶ τεσσάρων ἐφθαρμένων εἰκόνων τῶν εὐαγγελιστῶν Ματθαίου, Μάρκου, Λουκᾶ καὶ Ἰωάννου (φ. 10β, 60α, 95β, 173β). Οἱ πίνακες τῶν κεφαλαίων καὶ τῶν εὐαγγελίων αἱ ὑποθέσεις ἐρυθρόγραπτοι. Τὰ νῦν φύλλ. 1-2 περιλαμβάνουσιν ἐν ἑαυτοῖς τοῦ κατὰ Λουκᾶν εὐαγγελίου μέρος ἀπὸ τῶν λέξεων· «κατεσκήνωσεν ἐν τοῖς κλ(άδοις)» κτλ. (ιβ', 19 κέ). Τὸ κατὰ Ματθαῖον (φ. 11-58) ἄρχεται ἀπὸ τοῦ «παραδειγματίσαι» (α', 19), τὸ δὲ κατὰ Ἰωάννην (φ. 174-210) τελευτᾷ εἰς τὰς λέξεις «θέλω μένειν» τοῦ κεφαλαίου κα', 22.

**491**. Τεῦχος χάρτινον τῆς 15-ης ἑκατ. ἐκ φύλλων 302, μήκ. 0,22, πλ. 0,16, διῃρημένον εἰς ἠριθμημένα τετράδια λθ', γεγραμμένον δ' ἐπιμελῶς καὶ τρισὶν ἐρυθροῖς κεκοσμημένον ταινιοειδέσι κοσμήμασι (φ. 1α, 220α, 225α). Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 22 (0,138×0,085).

1. «Τυπικὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας τῆς ἐν Ἱεροσολύμοις ἁγίας λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα· αὕτη δὲ ἡ ἀκολουθία γίνεται καὶ ἐν ταῖς λοιπαῖς τῶν ἐν Ἱεροσολύμοις ἁγίων μονῶν». Ἀρχ. «Εἴδησις τοῦ μικροῦ ἑσπερινοῦ. Πρὸ τοῦ δῦναι τὸν ἥλιον» κτλ., φ. 1-219.

2. «Πίναξ τῶν ἀπορ(ρ)ήτων κυροῦ Μάρκου» ἀριθμῶν κεφάλαια ϟε'.

3. «Μάρκῳ ἁμαρτωλῷ ἱερομονάχῳ σύνταγμα πονηθὲν εἰς τὰ ἀπορούμενα τοῦ τυπικοῦ». Τὸ κείμενον τελευτᾷ εἰς τὰς ἑξῆς λέ-

ξεις τοῦ ιε' κεφαλαίου· «Τῇ Παρασκευῇ ? - - εἰ δὲ ἑορτάζεται ὁ ἅγιος εἰς ς̄ - - -». Ὅρα Τυπικὸν ἐκδ. ἐπιμελείᾳ Μάρκου Μαροῦ (Ἑνετίῃσι 1685), σελ. ριη'.

**492.** Μαθηματάριον χάρτινον τῶν ἐτῶν 1739 καὶ 1750, ἀριθμοῦν φύλλα 506 (μήκ. 0,213, πλ. 0,162), ὧν ἔνια παντάπασιν ἄγραφα (φ. 144, 187, 241, 300, 301). Τὸ κείμενον μονόστηλον ἔχον ἀπανταχοῦ σχεδὸν μεταξὺ τῶν στίχων καὶ ἄνωθεν αὐτοῦ μετάφρασιν αὐτοῦ τούτου εἰς νέαν ἑλληνικὴν γλῶσσαν.

1. «Γρηγορίου τοῦ Θεολόγου ἐπισκόπου τοῦ Ναζιανζοῦ περικαθ' ἑαυτὸν ἔπη, δι' ὧν παροξύνει λεληθότως ἡμᾶς πρὸς τὴν (= τὸν) ἐν Χριστῷ βίον», φ. 1-27.

2. «Τοῦ αὐτοῦ Γρηγορίου ἔπαινος παρθενίης», φ. 28-59. Εἰς φ. 59β· «Τέλος καὶ τῷ Θεῷ δόξα περὶ παρθενίας = ᾱψμθ̄, Ὀκτομβρίου. χεῖρ χειρός χεῖρα, Ἰωακείμ».

3. «Ὑποθῆκαι παρθενίας». Ἀρχ. «Νίκη μὲν δὴ σοῖο», φ. 59β-88α. Εἰς τὸ τέλος· «Τέλος καὶ τῷ Θεῷ δόξα. ᾱψν̄. Μαρτίου η̄».

4. Γρηγορίου τοῦ Θεολόγου «πρὸς Σέλευκον». Ἀρχ. «Χαίρειν κελεύων», φ. 89-103α. Τῆς ἀρχῆς τοῦ κειμένου προτέτακται κόσμημα κεχρωματισμένον, τὸ δὲ πρῶτον γράμμα, τὸ Χ, μέγα, περιηνθισμένον καὶ κεχρωματισμένον.

5. «Χριστὸς πάσχων Γρηγορίου Ναζιανζηνοῦ τοῦ Θεολόγου τραγωιδία» καὶ ἕτερά ἔμμετρα τοῦ αὐτοῦ, φ. 103β-124β.

6. «Ὁμήρου βατραχομυομαχία», φ. 124β κέ.

7. Γρηγορίου τοῦ Θεολόγου διάφορα ἔμμετρα, φ. 146α-175α.

8. Καὶ πάλιν Ὁμήρου βατραχομυομαχία, φ. 175β-186β.

9. «Κάτωνος Ῥωμαίου γνῶμαι παραινετικαὶ δίστιχοι, ἃς μετήνεγκεν ἐκ τῆς τῶν Λατίνων φωνῆς εἰς τὴν ἑλληνίδα διάλεκτον Μάξιμος μοναχὸς ὁ Πλανούδιος», φ. 188α-199α. Εἰς τὸ τέλος· «Ἐν ἔτει σωτηρίῳ ͵αψλθῳ Μαρτίου θῃ, τῇ Πέμπτῃ τῇ πρώτῃ τῶν Νηστειῶν· — παρὰ Νικοδήμου ἱεροδιακόνου τοῦ Τραπεζουντίου». Νοητέος ἴσως Νικόδημος ὁ Περιστερεώτης, περὶ οὗ ἴδε Ἐ. Θ. Κυριακίδην ἐν Βιογραφίαις τῶν ἐκ Τραπεζοῦντος λογίων. Ἐν Ἀθήναις 1897, σ. 109.

10. «Χρυσᾶ ἔπη τοῦ Πυθαγόρου», φ. 199β-201β. Ἐγράφησαν ὧδε ἔτει 1739-ῳ.

11. «Βασιλείου τοῦ Ῥωμαίων βασιλέως κεφάλαια παραινετικὰ ξς′ πρὸς τὸν ἑαυτοῦ υἱὸν Λέοντα» κτλ., φ. 202α-240β.

12. Θεοφυλάκτου Βουλγαρίας «παιδεία βασιλικὴ πρὸς τὸν πορφυρογέννητον». Ἀρχ. «Δῶρόν τοι καὶ ἐγὼ» κτλ., φ. 242α-265α.

13. Ἀσματικοὶ τριαδικοὶ κανόνες Μητροφάνους Σμύρνης ἐκ τῶν ἐν τῇ Ὀκτωήχῳ, φ. 266α-299β.

14. «Ἐκ τῶν τοῦ σοφωτάτου Συνεσίου» ἐπιστολῶν. Ἀρχ. «Νικάνδρῳ. Παῖδας ἐγὼ λόγους ἐγεννησάμην», φ. 302-506.

**493**. Τεῦχος χάρτινον ἔτους 1658-ου, ἐκ φύλλων 533 (μῆκ. 0,21 πλ. 0,15), ὧν ἔνια παντάπασιν ἄγραφα (φ. 15, 16, 301, 302, 304, 493, 504-506, 527, 528, 530).

1. «Πίναξ ἀκριβὴς τοῦ παρόντος βιβλίου κατασελίδων καὶ κεφαλαίων», φ. 1-14. Εἰς τὸ τέλος· «Γρηγόριος ὁ Μελισσηνὸς ταῦτα ἔγραψε, καὶ ἐσπούδασεν ἐς ἄκρον. 1658».

2. «Εἰς τὰ περὶ ψυχῆς τοῦ Ἀριστοτέλους βιβλία σύντομος παράφρασις καὶ ζητήματα παρὰ Γερασίμου ἱερομονάχου Βλάχου τοῦ Κρητὸς» κτλ. Ἀρχ. «Ἐπειδή περ οὐδεμία γένεσις» κτλ., φ. 17α-300α. Εἰς τὸ τέλος· «Φθάσαντες τὸ τέλος τὸ πεποθημένον, δόξαν ἀναπέμπομεν Θεῷ τῷ ἐν τριάδι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας».

3. «Πίναξ τῶν περιεχομένων ἐν ταύτῃ τῇ βίβλῳ», ἀριθμῶν κεφάλαια ργ′, ὅσα ἔχει ἡ κατόπιν αὐτοῦ συγγραφή.

4. Θωμᾶ Ἀκυνάτου τὸ κατὰ Ἑλλήνων ἀνεπίγραφον, διῃρημένον εἰς ριγ′ κεφάλαια. Ἀρχ. «Τίς ὁ τοῦ ποιητοῦ σκοπὸς ἐν τῇ παρούσῃ πραγματείᾳ. Κεφάλαιον πρῶτον. Ἡ δὲ περὶ τὴν σοφίαν σπουδὴ» κτλ., φ. 310α-492α. Εἰς τὸ τέλος· «+ Ἐγράφη τὸ παρὸν βιβλίον παρ' ἐμοῦ Γρηγορίου ἱερομονάχου Μελισσηνοῦ τοῦ Κρητὸς καὶ Σιναΐτου, δι' ἑνὸς μηνὸς κατὰ τὸ, ᾳ χ νη^ον +».

5. «Ἀπάνθισμα ὡραῖον θεολογικὸν τοῦ σοφωτάτου Μιχαὴλ Χορτακίου τοῦ Κρητός. + Ἐγράφη καὶ τοῦτο παρ' ἐμοῦ Γρηγορίου ἱερομονάχου Μελισσηνοῦ τοῦ Κρητὸς καὶ Σιναΐτου». Ἀρχ. «Περὶ ὀπτασίας ἁγίων. α^ον. Καίπερ τὸ θεῖον ὡς πρὸς ἡμᾶς» κτλ., φ. 494β-503β.

6. «Ὡραιοτάτη ἐξήγησις τοῦ ὡραιοτάτου θεολογικοῦ ἀπανθίσματος παρὰ τοῦ λογιωτάτου, Γρηγορίου ἱερομονάχου Μελισσηνοῦ τοῦ Κρητὸς καὶ Σιναΐτου. + κατὰ τό, ,αον, χον, νον, ηον ἔτος +». Μετὰ τὴν ἐπιγραφὴν ταύτην «ἐπίγραμμα τοῖς ἐντυγχάνουσι τῷ βιβλίῳ τούτῳ» (φ. 508α)· ἔχει δὲ ὧδε·

Θεολογίης λειμὼν τελέθω ἴον ἀγλαόκαρπος.
Εἰ τοίνυν ποθὲ εἰς ταίνια θρεψόμενος,
εἴσιθι, σύλλεξον, τοὐδ' ὀσφραίνεσθ' ἀμαράντου,
ἠνίδε, ἀμφικομῶν, Γρηγορίου καμάτοις.

Εἶτα «πίναξ τοῦ παρόντος» (φ. 508β) καὶ Γρηγορίου τοῦ Μελισσηνοῦ ἐπιστολή (φ. 509), ἧς τὸ κείμενον διὰ τὸ ὀλιγόστιχον παρατίθεται ὡς ἔχει ὧδε· «Τῷ λογιωτάτῳ καὶ αἰδεσιμωτάτῳ μεγάλῳ πρωτοσυγγέλ(λ)ῳ τῆς Καθολικῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας, κυρίῳ κυρίῳ Μητροφάνει τῷ Γηράρδῃ Γρηγόριος ἱερομόναχος ὁ Μελισσηνὸς καὶ Σιναΐτης σωτηρίαν παρὰ Θεοῦ. Ὑπέρτατόν τι χρῆμα καὶ ἐκποθούμενον εἶναι τὴν θεολογίαν τὴν εἰς τὸν ἐν τριάδι ἕνα Θεὸν παρὰ τῶν ἀνθρώπων ἐν ἀγαθῇ συνειδήσει θεολογουμένην ἔκ τε τῶν ἱερῶν θεολόγων καὶ ἐξ αὐτῆς τῆς ἐν ἡμῖν δι' ἐκείνης γινομένης πληροφορίας μανθάνομεν, Μητρόφανες παναιδεσιμώτατε, ὅτε μάλιστα μετασκευαζόμενα τὸν ὑψηλὸν τῆς θεωρίας νοῦν ἀναβιβάζεσθαι δι' αὐτῆς μέχρι τοῦ ἐνδοτέρου καταπετάσματος τῶν θείων μύστην τε καὶ ἐπόπτην ἀπεργαζόμενον ὡς θεῖόν τι ἄγαλμα τῆς καθ' ὁμοίωσιν ὡραιότητος τοῦ κάλλει ὡραίου παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. Χρησίμης οὖν οὔσης τῆς ταύτης θεωρίας, σύντομόν σοι ἀπάνθισμα θεολογικὸν ἁπλῇ φράσει ἐποιήσαμεν, πάλαι πόνῳ καὶ σπουδῇ τοῦ πανιερωτάτου καὶ σοφωτάτου κυρίου κυρίου Μελετίου μητροπολίτου Φιλαδελφείας ἑλληνιστὶ συλλεχθέν, πειρασόμενος διαβραχέων τὰ τῷ ὕψει καὶ μόνῳ τῶν νοημάτων διατρυφᾶν καὶ ταῖς ἐπὶ τὰ κρείττω τοῦ νοῦ ἀναβάσεσι χειραγωγεῖν. Ἀντιβολῶ οὖν τὴν σὴν λογιότητα τὸ παρὸν προσδέξασθαι, ᾧ ἔρως τῆς θεολογίας οὐχ ὁ τυχών, ἀλλὰ μέγας· σὺ δ' ἀετοῦ δίκην ταῖς τῆς σῆς σοφωτάτης σοφίας πτέρυξι αὐτῷ περιθάλψαις, καὶ εἰ ἀνάξιον τῆς σῆς αἰδεσιμότητος, πρὸς τὸ τῆς ἡμετέρας ψυχῆς πρό-

θυμον ἀποβλέψας εὖ ἴσμεν, ὅτι οὐκ ἀποδοκιμάσεις τὸ χάρισμα: — Ἔρρωσο ͵αχνη'''. —Ὁ Γρηγόριος». Μετὰ τοῦτο τὸ γράμμα εὑρίσκεται τὸ κείμενον τοῦ ἀπανθίσματος (φ. 510α-526α), οὗ ἡ ἀρχή· «Περὶ θεωρίας ἁγίων. α'''. Ἐπειδὴ καὶ ὁ Θεὸς ὡς πρὸς τοῦ λόγου μας παντελῶς δὲν εἶναι ἐγνωρισμένος» κτλ.

5. «Παράδειγμα τῆς ἀιδιότητος συλλεχθὲν ἐκ τοῦ ξς''' κεφαλαίου τῆς θεολογίας παρὰ Γρηγορίου ἱερομονάχου Μελισσηνοῦ».

**494.** Τεῦχος διμερές, χάρτινον, ἐκ φύλλων 108 (μήκ. 0,21, πλ. 0,152), ὧν τὰ μὲν πρῶτα 82 ἐγράφησαν ἀρχομένης τῆς 18-ης, τὰ δὲ λοιπὰ (83-108) περὶ τὸ τέλος τῆς 17-ης ἑκατ. Τὸ κείμενον μονόστηλον.

1. «Κεφάλαια τῶν Λατίνων, μὲ τὰ (*κώδ.* μετὰ) ὁποῖα λογιάζουσι νὰ ἀποδείξουσι (*κώδ.* ἀποδήξουσι), πῶς τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεται καὶ ἐκ τοῦ υἱοῦ, καὶ πρὸς ταῦτα λύσεις τῶν Γραικῶν, μὲ τὰς (*κώδ.* μετας) ὁποίας ἀναιροῦσι (*κώδ.* ἀνερούσι) τὰ ὅσα οἱ Λατῖνοι λέγουσι καὶ - - -». Ἀρχ. «Ἰταλός. Ὁ Χριστὸς λέγει εἰς τὸ κατὰ Ἰωάννην» κτλ., φ. 1α-65α.

2. «Νικολάου ἐπισκόπου Μεθώνης κεφαλαιώδεις ἔλεγχοι τοῦ παρὰ Λατίνοις καινοφανοῦς δόγματος, τοῦ ὅτι τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρὸς καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεται, συνοψισθέντες (*κώδ.* συνοψηστένταις) ἐκ τῶν διὰ πλάτους ἐν διαφόροις λόγοις γεγραμμένων αὐτῶν: — εἰς κοινὴν γλῶτταν». Ἀρχ. «Ὁμολογούμενον εἶναι, ὅτι πῶς ὅλη ἡ θεότης» κτλ., φ. 67α-79α.

3. «Ἐκ τῶν τοῦ μακαριωτάτου πατρὸς ἡμῶν Μελετίου ἀρχιεπισκόπου Ἀλεξανδρείας ἐπιστολῶν περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος». Ἀρχ. «Τί τοίνυν φατὲ οἱ νέοι θεολόγοι» κτλ., φ. 80α-82α.

4. [Ναθαναὴλ Χύγα]. «Ἐγχειρίδιον διδασκάλου τινὸς περὶ τῶν πρωτείων τοῦ πάπα, ὅτι μήτε οἱ κανόνες τῶν νόμων, μήτε ὁ λογαριασμὸς θέλει (*κώδ.* θέλη· *οὕτω καὶ ἑξῆς*) νὰ τὰ ἔχῃ καθὼς τὰ κρατοῦσιν οἱ Ῥωμᾶνοι, ἀλλὰ ἁρπακτικῶς θέλει νὰ τὰ χρᾶται». Ἀρχ. «Δὲν εἶναι ἄλλο» κτλ., φ. 83α-108α. Ἰδὲ ἐκδ. Ἀ. Δημητρακοπούλου (ἐν Λειψίᾳ 1869) σ. 1 κε'.

**495**. Τεῦχος χάρτινον ἐκ φύλλων 163 (μήκ. 0,22, πλ. 0,16), γραφὲν περὶ τὸ τέλος τῆς 17-ης ἑκατ. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 21. Φύλλα ἄγραφα· 3, 14-16, 160-162. Ἐν τοῖς φύλλοις 1-2 δύο σημειώματα ἔτους 1740-οῦ. Δύο κοσμήματα ἀκαλλῆ ἐν τοῖς φ. 4 καὶ 17.—Νομοκάνονον ἀνεπίγραφον ἀριθμοῦν κατὰ τὸν πίνακα (φ. 4-16) κεφάλαια σος΄. Τὸ α΄ ἐπιγέγραπται· «Περὶ ἡμῶν τῶν χριστιανῶν ὅταν προσκυνοῦμεν, πῶς ἔχομεν χρέος νὰ κάμνωμεν τὸν σταυρόν μας, καὶ τί δηλοῖ ὁ σταυρὸς ὁποῦ κάμνομεν εἰς τὸ σῶμα ἡμῶν. Κεφάλαιον πρῶτον». Ἀρχ. «Τοῦ χριστιανοῦ ἔναι χρέος, ὅταν προσκυνεῖ, νὰ σμίγῃ τοὺς τρεῖς δακτύλους» κτλ. Τὸ ἔσχατον κεφάλαιον «Περὶ ποτήριον, εἰ καλύψει ὁ ἱερεὺς κενὸν μὴ ποιήσας ἕνωσιν, ὕστερον δὲ γνῷ, τι ποιήσει. Κεφάλαιον σος΄». Εἰς τὸ τέλος διὰ χειρὸς τοῦ γράψαντος τὸ τεῦχος· «Ἰγνάτηος: ἱερεύς, Ζαγωρέος». Ἐν τῷ 163-ῳ φύλλῳ πρόσθετον σημείωμα περὶ σεληνιακοῦ τινος φαινομένου τῆς 24 Ἰανουαρίου ἔτους 1775-ου.

**496**. Τεῦχος χάρτινον τῆς 17-ης ἑκατ. ἐκ φύλλων 134 μήκ. 0,215, πλ. 0,156. Τὸ κείμενον μονόστηλον.

«Γεωργίου Κορεσσίου, θεολόγου τῆς Μεγάλης Ἐκκλησίας καὶ ἰατροῦ», συγγραφὴ ἀνεπίγραφος περὶ ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος. Ἀρχ. «Ἐχομένοις ἡμῖν τῆς προόδου» κτλ.

**497**. Τεῦχος χάρτινον ἐκ φύλλων 137 μήκ. 0,208, πλ. 0,148. Διάφοροι γραφαὶ τοῦ πρώτου τετάρτου τῆς 19-ης ἑκατ. Τὸ κείμενον μονόστηλον.

«Γραμματικὴ συντεθεῖσα παρὰ τοῦ λογιωτάτου καὶ σοφωτάτου διδασκάλου κυρίου κυρίου Νικοδήμου τοῦ Μαζαῤῥάκους, τοῦ ἐκ Φερῶν τῆς Θετταλίας». Ἀρχ. «Προοίμιον εἰς ὅλην τὴν πραγματείαν. Τὰ προλεγόμενα τῆς μεθόδου. Εἴπωμεν δὲ ἐφεξῆς, τίς ἐστιν αὕτη ἡ ἕξις» κτλ.

**498**. Τεῦχος χάρτινον ἐκ φύλλων 111 (μήκ. 0,202, πλ. 0,148), ὧν τέσσαρα ἄγραφα (φ. 107-111). Ἐγράφη ἔτει 1693-ῳ. Ἐν τῷ φ. $111^{3}$· «пи҃ мт҃, генáрїї, дн҃и, ѳ, лв҃, ,зрча ши а҃ скри еѹ михало лѡ҃ сн҃ь ѿпрѣ дїiако (?) в дн҃и iѡ шебан вѡево i ахи-метрополи ѳеѡдосїе».

1. Λεξικὸν σλαβονορωμουνικόν, φ. 1-84.

2. «Ӑкаѳістъ прⷭ҇тѣи бци» φ. 85-106 (Ἀκολουθία σλαβιστὶ εἰς τὴν Ἀκάθιστον· τὸ κείμενον δίστηλον).

**499**. Τεῦχος χάρτινον ἐκ φύλλων ἠριθμημένων 137 (μήκ. 0,202, πλ. 0,16), ἐν οἷς περιέχεται σλαβιστὶ ὁ ὑπὸ Γρηγορίου μοναχοῦ συνταχθεὶς ἑλληνιστὶ βίος τοῦ ὁσίου Βασιλείου τοῦ Νέου. Πρὸ τοῦ κειμένου εὑρίσκεται φύλλον, οὗ ἡ δευτέρα σελὶς ἔχει παράστασιν ἐν εἰκόνι τῆς εἰς οὐρανοὺς ἀναλήψεως τοῦ Χριστοῦ. Αἱ ἐπιγραφαὶ τῶν κεφαλαίων τοῦ κειμένου εἰσὶν ἐρυθραί· αὐτὸ δὲ τὸ κείμενον μονόστηλον ὂν καὶ γραμμὰς ἐν ταῖς σελίσιν ἀριθμοῦν 22 πέρας εἴληφε γραφὲν ἐν Μόσχᾳ τῇ 23-ῃ Ἰουλίου τοῦ 1781-ου ἔτους.

**500**. Τεῦχος χάρτινον τῆς 18-ης ἑκατ. (μηκ. 0,204, πλ. 0,154), ἐκ σελίδων ἠριθμημένων 271. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 19. — Εὐχολόγιον ἔχον ἐν ἀρχῇ τὸ «Πίναξ τῆς παρούσης βίβλου». α´) Εὐχαὶ διάφοροι, σελ. 1-101. Ἀρχ. «Οὕτως ἀρχέσθω ὁ προσκυνῆσαι καὶ λατρεῦσαι θέλων» κτλ. — β´) «Εὐχαὶ ἐξομολογητικαὶ πολλὰ ὠφέλιμοι λεγόμεναι καθἑκάστην», σ. 101-136. — γ´) «Τοῦ σοφωτάτου καὶ λογιωτάτου κυρίου Γενναδίου τοῦ Σχολαρίου καὶ πατριάρχου Κ/πόλεως· οἱ ὑπόλοιποι τῆς ἀκολουθίας τοῦ ἡμερονυκτικοῦ ψαλμοὶ ἐτέθησαν ἐνταῦθα, τῶν εὐχῶν μόνων ἐκλεγεισῶν». Ἀρχ. «Ἐν ταῖς ἐκκλησίαις τὸ ἔθος» κτλ., σ. 137-177. — δ´) «Ἀκολουθία εἰς τὸν ἀκάθιστον ὕμνον», σ. 178 κέ. — ε´) Κανόνες ᾀσματικοὶ ἀνώνυμοι εἰς τὴν Θεοτόκον τρεῖς, παρακλητικοὶ δύο καὶ εἷς κατανυκτικός, σ. 206 κέ. — ε´) Ἀνωνύμου «κανὼν κατανυκτικὸς εἰς τὸν κ. ἡ. Ἰησοῦν Χριστόν». Ἀρχ. «Ἰησοῦ γλυκύτατε» κτλ., σ. 228 κέ. — ς´) «Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ», σ. 236 κέ. — ζ´) «Εὐαγγέλιον τῆς ἁγίας καὶ μεγάλης Κυριακῆς τοῦ Πάσχα», σ. 248 κέ. — η´) «Εὐχὴ κατανυκτικὴ εἰς τὴν Ἁγίαν Τριάδα». Ἀρχ. «Ἡ ἐν μονάδι φύσεως προσκυνουμένη» κτλ., σ. 251 κέ. — θ´) «Εὐχὴ κατανυκτική». Ἀρχ. «Δέσποτα παντοκράτορ», σ. 253 κέ. — ι´) «Ὁ τῆς ἐξομολογήσεως τρόπος». Ἀρχ. «Ἐξομολογοῦμαι τῷ κυρίῳ μου», σ. 257-271.

**501**. Τεῦχος χάρτινον ἔτους 1698-ου ἐκ φύλλων 374 μήκ.

0,208, πλ. 0,15. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 21-22. Φύλλα ἄγραφα· 20 καὶ 223-226.

35 Κώνσταντα δέ τιν' ἄνστησ' ἔργον ἐς τοῦτο σπουδῇ,
Κώνσταντ' οὐμὸν φίλον κατὰ θυμὸν παμφαῆ
αὐγῆσιν ἀρετῶν ξυμπάντων, ταῖς θεὸς χαίρει·
Κώνσταντα, ᾧ φύτλη πὰρ Σόλωνος νομογράφου
γαίης ἐξ ἱερῆς (οἴκησις δ' ἐν Θερμοπύλῃσιν),
40 ὃς μεσίτῃ Βασιλείῳ ὑπὸ μεγάλῳ τάσδε
κτήσατο βίβλους κἀμοὶ δῶκ' ἀπολαύειν.
Κώνστας γὰρ ἑώρταζε[2] Βασίλειον μέγαν ᾧ - -
ἠδ' ὃς Κώνσταντος τέκος Βασίλειον δ' ἡ - - -
θῆκε δ' ἐν οὐραγῷ φίλον τιμῶν ὑμν - - -
45 δῶκε δὲ βίβλους κεδνὰς Κώνσταντι φ - - -.
βαβαὶ καὶ θανὼν τέρας οἷον τελεῖ Βασίλειος.
Πόντου Καππαδοκίας τε μέγα κλέος εἰσέτι ζῇ,
δοξάσας αὖθις Ἑλλάδα, τὴν οἶδ' ὅσσοις - - -,
ὁππότ' ἐνὶ μαθήμασιν ὧδ' ἦν σὺν φίλῳ
50 Γρηγορίῳ λαμπτῆρι θεολογίας μεγάλῳ.
Χριστὲ ἄναξ, λίτομαί σε χαλῶν παμπληθὲς - - -
ὧδε παράσχοις Κώνσταντι παντὶ ξὺν μ . . ρ - - -
αὐτόθι γοῦν βασιλείῃ οὐρανίῃ κοσμήσ(αις)
τόνδ' ἱλασμοῖς Θεοτόκου ἠὲ Βασ(ιλείου).
55 Ἰωάκειμος ὑμνῶν προνοίην ἀείσω ταύτ(ην).

**635**. Τεῦχος μεμβράνινον τῆς 11-ης ἑκατ. (μήκ. 0,29, πλ. 0,222), διῃρημένον εἰς τετράδια λε', τρία μὲν ἑξάφυλλα (ιζ', κβ', λ'), πάντα δὲ τὰ λοιπὰ ὀκτάφυλλα· τούτων μέντοι δύο εἰσὶν ἐλλιπῆ ἐξ ἀφαιρέσεως τριῶν φύλλων, ἑνὸς μέν, τοῦ πρώτου, ἀπὸ τοῦ κς' τετραδίου (μεταξὺ τῶν νῦν φύλλων 199-200), δύο δέ, τῶν ἐσχάτων, ἀπὸ τοῦ λ' τετραδίου (μεταξὺ τῶν φ. 236-237). Ὡς δὲ νῦν ἔχει τὸ τεῦχος, ἀριθμεῖ φύλλα 277, κατὰ δὲ τὴν ἀρίθμησιν τούτων 276 διὰ τὴν δὶς ἐπανάληψιν τοῦ 275-ου ἀριθμοῦ. Τὰ φ. 1, 2, 276 καὶ 277 ἐφθαρμένα ἱκανῶς. Τὸ κείμενον μονόστηλον

[1] Ἐν τῷ κώδ. ἔ χ ω ν τ'. [2] Ἐν τῷ κώδ. ἑ ό ρ τ α ζ ε.

ἐκ γραμμῶν 37(0,21×0,15), ἔχον ἐν ἑαυτῷ συνεχῶς ἔν τε ταῖς ἐπιγραφαῖς τὸ προσγεγραμμένον ἰῶτα, ἔτι δὲ πολυάριθμα ἐπίτιτλα κοσμήματα χρώματος ἐρυθροῦ, τὰ μὲν πιοειδῆ καὶ ἐπιμήκη, τὰ δὲ ταινιοειδῆ. Ἐν τῷ φ. 276α (=277) ἡ τοῦ καλλιγράφου ὑπογραφή, καὶ αὕτη ἱκανῶς ἐφθαρμένη· «+ Βοήθει τῶ σῶ δούλω Ἰλαρίωνι μοναχ(ῷ) καὶ ἱερε(ῖ) . . . . . . εν. ἐξεπιτρο(πῆς) - - -». Ἐπὶ τῆς ἄνω ᾤας τοῦ φ. 11α ἀναγινώσκεται τὸ σημείωμα τοῦτο· «+ Τὸ παρὸν σεσαθρωμένον εὑρόντες ἐν τῇ μητροπόλει Μελενίκου, ἵνα μὴ τέλεον ἀφανισθῇ λαβόντες ἀφιερώσαμεν τῷ Παναγίῳ τοῦ Κυρίου Τάφῳ, ὁ δ' ἀφαιρήσων ἐπικατάρατος. 1674 μηνὶ Ἰουνίῳ. + Ὁ Ἱεροσολύμων Δοσίθεος ἀποφαίνεται· ἐν Σέῤῥαις». Ἕτερα σημειώματα παλαιά, πιθανῶς 14-ης ἑκατ. α') «Ἀφιερώθη τὸ παρὸν νομοκάνονον ἐν τῇ ἁγία ⟨ἐπισκοπῇ⟩ Ἀρχαγγέλου μηνὶ Μαρτίω - -», φ. 16. — β') «+ Ὁ ἁμαρτωλὸς ἐπίσκοπος Ἀρχαγγέλου καὶ πρωτοσύγκελλος τῆς Μεγάλης Ἐκκλησίας», φ. 80β. — γ') «+ Ὁ ταπεινὸς ἐπίσκοπος Ἀρχαγγέλου Ἰωάννης καὶ πρωτοσύγκελλος», φ. 82α-83α*.

1. «Παύλο⟨υ τοῦ ἁγιωτάτου ἀποστόλου⟩ διατάξεις περὶ ⟨κανόνων ἐκκλησιαστ⟩ικῶν». Ἀρχ. «Οἱ πρώτως προσ⟨ιόν⟩τες τῶι μυστηρίωι» κτλ., φ. 1α.

2. «Συναγωγὴ κανόνων ἐκκλησιαστικῶν εἰς ν' τίτλους διει(=η)ρημένη». Ἀρχ. «Οἱ τοῦ μεγάλου Θεοῦ» κτλ , φ. 2α. — «Πρόλογος», φ. 3β. Ἀρχ. «Τὰ μὲν σώματα καταλλήλως» κτλ. — «Ἐκ ποίων συνόδων τε καὶ προσώπων καὶ πόσων κανόνων τὸ παρὸν ἠθροίσθη σύνταγμα», φ. 5β. — «Τίτλοι κανονικοῦ συντάγματος καὶ τῶν ἁρμοζόντων ἑκάστωι τίτλωι κεφαλαίων», φ. 6α. — «Τίτλος α'. Περὶ θεολογίας καὶ ὀρθοδόξου πίστεως», φ. 11α. Εἶτα οἱ λοιποὶ τίτλοι συμποσούμενοι εἰς ιδ'.

2. «Κανόνες τῶν ἁγίων ἀποστόλων» μετὰ σχολίων ἐν ταῖς ᾤαις, φ. 52α.

3. «Κανόνες τῶν τιη' ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόν-

* Περὶ τοῦ κώδικος τούτου ἴδε καὶ *В. Н. Бенешевичъ*, Каноническій сборникъ XIV титуловъ. Ἐν Πετρουπόλει 1905, σ. 120.

των ἐν ὑπατ(ε)ίᾳ Παυλίνου καὶ Ἰουλιανοῦ τῶν λαμπροτάτων. ἔτους χλς ἀπὸ Ἀλεξάνδρου, ἐν μηνὶ Δεσίῳ ἐννεακαιδεκάτῳ πρὸ δεκατριῶν καλανδῶν ἰουλίων», φ. 56α. Σχόλια ἐν ταῖς ᾤαις.

4. «Κανόνες τῶν ἐν Ἀγκύρᾳ συνελθόντων μακαρίων πατέρων, οἵτινες δεύτεροι μὲν εἰσὶ τῶν ἐν Ἀγκύρᾳ, τῶν δὲ ἐν Νικαίᾳ προγενέστεροι, διὰ δὲ σεβασμιότητα προτέτακται αὐτῶν ἡ ἐν Νικαίᾳ», φ. 60α.

5. «Κανόνες τῶν ἐν Γάγγρᾳ συνελθόντων ἁγίων πατέρων, οἵτινες μετὰ τὴν ἐν Νικαίᾳ σύνοδον ἐξετέθησαν», φ. 60β.

6. «Κανόνες τῶν ἐν Ἀντιοχείᾳ συνελθόντων πατέρων», φ. 62β.

7. «Κανόνες τῶν ἐν Λαοδικείᾳ τῆς Φρυγίας συνελθόντων μακαρίων πατέρων», φ. 65β.

8. «Κανόνες τῶν ἁγίων πατέρων τῶν ἐν Κ/πόλει συνελθόντων ἐν ὑπατ(ε)ίᾳ Φλαβίου Εὐχερίου καὶ Φλαβίου Εὐαγρίου τῶν λαμπροτάτων, ἑπτὰ εἰδῶν ἰουλίων», φ. 68α.

9. «Κανόνες τῶν σ' ἁγίων πατέρων τῶν ἐν Ἐφέσῳ συνελθόντων μετὰ τὴν ὑπατείαν Φλαβίου Θεοδοσίου τὸ ιγ' καὶ Φλαβίου Οὐαλεντινιανοῦ τὸ γ', τῶν αἰωνίων αὐγούστων, πρὸ δέκα καλανδῶν ἰουλίων», φ. 69β.

10. «Κανόνες τῶν χλ' ἁγίων πατέρων, τῶν ἐν Χαλκηδόνι συνελθόντων ὑπατείας Μαρκιανοῦ τοῦ αἰωνίου αὐγούστου καὶ τοῦ δηλωθησομένου τῇ πρὸ ὀκτὼ καλανδῶν νοεμβρίων», φ. 71β.

11. «Κανόνες τῶν ἐν Σαρδικῇ συνελθόντων ἁγίων πατέρων», φ. 75α.

12. «Κανόνες τῶν ἐν Καρθαγένῃ συνελθόντων σιζ' μακαρίων πατέρων, φ. 79α.

13. «Κανόνες τῶν ἐν Κ/πόλει ἐν τῷ τρούλλῳ τοῦ βασιλικοῦ παλατίου συνελθόντων ἁγίων πατέρων ἐπὶ Ἰουστινιανοῦ τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου ἡμῶν βασιλέως» κτλ., φ. 112β-130β.

14. «Κανόνες τῶν ἐν Νικαίᾳ μακαρίων πατέρων συνελθόντων τὸ δεύτερον ἔτει ,ςσης τῆς τοῦ κόσμου κτίσεως, ἰνδ. ια', εὐσεβῶς βασιλευόντων Κωνσταντίνου καὶ Εἰρήνης τῆς αὐτοῦ μητρός», φ. 131α-138α.

15. «Κανόνες ἐκτεθέντες παρὰ τῆς ἁγίας καὶ μεγάλης ἐν Κ/-

πόλει ᾱ καὶ β̄ συνόδου, τῆς συστάσης ἐν τῷ πανσέπτῳ ναῷ τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων», φ. 138β κἑ.

16. «Κανόνες ἐκτεθέντες παρὰ τῆς ἁγίας συνόδου τῆς ἐν τῷ περιωνύμῳ ναῷ καὶ ἐπωνύμῳ τοῦ θεολόγου (=τοῦ τῆς Θεοῦ Λόγου Σοφίας) συστάσης, τὴν ἑβδόμην καὶ οἰκουμενικὴν σύνοδον ἐπιβεβαιωσάσης, πᾶσαν δὲ σχισματικὴν καὶ αἱρετικὴν πλάνην ἀπελασάσης», φ. 142β.

17. «Τοῦ μακαρίου Διονυσίου ἀρχιεπισκόπου Ἀλεξανδρείας» κανόνες, φ. 143α.

18. «Τοῦ ἁγίου Πέτρου ἀρχιεπισκόπου Ἀλεξανδρείας καὶ μάρτυρος κανόνες ἐμφερόμενοι ἐν τῷ περὶ μετανοίας αὐτοῦ λόγῳ», φ. 144β.

19. «Τοῦ ἁγίου Βασιλείου ἐπισκόπου Καισαρείας Καππαδοκίας» κανόνες. — α') «Ἀμφιλοχίῳ ἐπισκόπῳ Ἰκονίου περὶ κανόνων ἐπιστολὴ α'», φ. 151β. — β') «Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς τὸν αὐτὸν μακάριον Ἀμφιλόχιον γραφείσης ἐπιστολῆς περὶ τοῦ μὴ ἀγνοεῖν τὸν Κύριον τὴν ἡμέραν τοῦ τέλους καὶ τὴν ὥραν», φ. 161α. — γ') «Τοῦ αὐτοῦ πρὸς Διόδωρον τὸν Ταρσοῦ κατὰ τῶν δύο ἀδελφὰς γαμούντων ἢ ἀδελφοῖς δυσὶ γαμουμένων», φ. 161α. — δ') «Τοῦ αὐτοῦ πρὸς Γρηγόριον πρεσβύτερον, ὥστε χωρισθῆναι αὐτὸν τοῦ συνοίκου γυναίου», φ. 162β. — ε') «Τοῦ αὐτοῦ χωρεπισκόποις, ὥστε μὴ γίνεσθαι χωρὶς αὐτοῦ ὑπηρέτας παρὰ τοὺς κανόνας», φ. 163α. — ς') «Τοῦ ἁγίου Βασιλείου ἐκ τοῦ κζ' κεφαλαίου τῶν περὶ τοῦ ἁγίου πνεύματος πρὸς τὸν μακάριον Ἀμφιλόχιον γεγραμμένων», φ. 164α. — ζ') «Τοῦ αὐτοῦ ἐκ τοῦ κθ' κεφαλαίου τῆς αὐτῆς πραγματ(ε)ίας».

20. «Ἐπιστολὴ κανονικὴ τοῦ ἁγίου Γρηγορίου ἐπισκόπου Νύσσης πρὸς τὸν ἐν ἁγίοις Λιτόιον ἐπίσκοπον Μελιτινῆς», φ. 165α.

21. «Τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου ἐκ τῶν ἐμμέτρων αὐτοῦ», φ. 169α.

22. «Ἀποκρίσεις κανονικαὶ τοῦ ἐν ἁγίοις Τιμοθέου ἀρχιεπισκόπου Ἀλεξανδρείας, ἑνὸς τῶν ρν' ἁγίων πατέρων τῶν ἐν Κ/πόλει, πρὸς τὰς προσενεχθείσας αὐτῷ ἐπερωτήσεις παρά τινων ἐπισκόπων καὶ κληρικῶν», φ. 170β.

23. «Θεοφίλου τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Ἀλεξανδρείας, τῶν Θεοφανίων ἐπιστάντων ἐν Κυριακῇ, προσφώνησις», φ. 171β.— «Τοῦ αὐτοῦ Ἀφυγγίῳ περὶ τῶν λεγομένων Καθαρῶν». — «Τοῦ αὐτοῦ Ἀγάθῳ ἐπισκόπῳ». — «Τοῦ αὐτοῦ Μηνᾷ ἐπισκόπῳ».

24. Κυρίλλου Ἀλεξανδρείας ἐπιστολαὶ Δόμνῳ καὶ «τοῖς κατὰ Λιβύην καὶ Πεντάπολιν ἐπισκόποις», φ. 173α-174α.

25. «Ἐγκύκλιος ἐπιστολὴ Γενναδίου πατριάρχου Κ/πόλεως καὶ τῆς σὺν αὐτῷ ἁγίας συνόδου πρὸς ἅπαντας τοὺς ὁσιωτάτους μητροπολίτας», φ. 174β.

26. «Ἐπιστολὴ γραφεῖσα ἀπὸ Κ/πόλεως Μαρτυρίῳ ἐπισκόπῳ Ἀντιοχείας, περὶ τοῦ ὅπως χρὴ δέχεσθαι τοὺς αἱρετικοὺς προσερχομένους τῇ ἁγίᾳ καθολικῇ ἐκκλησίᾳ», φ. 176β.

27. Ἀθανασίου Ἀλεξανδρείας πρὸς Ῥουφινιανὸν ἐπίσκοπον, φ. 177α.

28. «Διάταξις οζ'. Διὰ τοὺς ⟨παρὰ⟩ φύσιν ἀσελγαίνοντας καὶ τοὺς ὀμνύοντας κατὰ τριχός τε καὶ κεφαλῆς καὶ τῶν τοιούτων κελεύει ταῖς ἐσχάταις ὑποβάλλεσθαι τιμωρίαις». Ἀρχ. «Πᾶσιν ἀνθρώποις» κτλ., φ. 178α.

29. «Ἐκ τῶν μετὰ τὸν κώδικα θείων νεαρῶν διατάξεων τοῦ τῆς εὐσεβοῦς λήξεως Ἰουστινιανοῦ διάφοροι διατάξεις συνᾴδουσαι ἐξαιρέτως τοῖς θείοις καὶ ἱεροῖς κανόσι» κτλ., φ. 178β κέ. Διατάξεις πζ'.

30. «Νόμος Ἰουστινιανοῦ τοῦ βασιλέως» (= Collectio tripartita), φ. 218β-251β.

31. «Καὶ ἐκ τῶν μετὰ τὸν κώδικα νεαρῶν διατάξεων» τίτλοι γ', φ. 251β κέ.

32. «Ἀποφθέγματα περὶ Χριστοῦ παλαιῶν φιλοσόφων Ἑλλήνων». Ἀρχ. «Ἀκοιμήτου πατρὸς ὄμματι» κτλ., φ. 276β.

**636.** Τεῦχος χάρτινον τοῦ πρώτου ἡμίσεος τῆς 17-ης ἑκατ., μήκ. 0,32, πλ. 0,205. Σελίδες ἠριθμημέναι 39 καὶ ἓν παράφυλλον μετὰ τὴν πρώτην πινακίδα, περιέχον ἐν ἑαυτῷ πίνακα λέξεων.

Γεωργίου Κορεσσίου αὐτόγραφον εὑρετήριον λέξεων τῶν ἱερῶν Γραφῶν μεθ' ἑρμηνείας. Ἀρχ. «*Ἄγγελος*. ἄγγελος λέγεται ὁ υἱὸς τοῦ Θεοῦ, ὅστις ἐστὶ τῆς μεγάλης βουλῆς ἄγγελος» κτλ.

**637**. Τεῦχος χάρτινον ἔτους 1674-ου, ἐκ φύλλων 60 μήκ. 0,292, πλ. 0,21.

Νεκταρίου Ἱεροσολύμων αὐτόγραφος ἐκλογὴ ἑρμηνευμάτων εἰς τὸν Ἰώβ. Ἡ γενικὴ αὐτῆς ἐπιγραφὴ ἐν τῷ πρώτῳ παραφύλλῳ· «Εἰς τὸν μακάριον Ἰὼβ ἐξήγησις ἐκ διαφόρων ἐξηγητῶν». Ἐν τῷ φ. 1α «τοῦ θεοφιλεστάτου Ὀλυμπιοδώρου διακόνου ὑπόθεσις εἰς τὴν βίβλον Ἰώβ». Τρία ἀποσπάσματα. — Ἐν τῷ φ. 2α «Πολυχρονίου ἑτέρα προθεωρία εἰς τὸν Ἰώβ». Αὐτόθι «ὑπόθεσις εἰς τὸν Ἰώβ». — Ἐν τοῖς φ. 3α-9β «Ὀλυμπιοδώρου διακόνου προθεωρία σύντομος εἰς τὸ πρῶτον κεφάλαιον» Ἰὼβ καὶ «προθεωρίαι τῶν λοιπῶν κεφαλαίων». — Ἐν τῷ φ. 10α ἡ τοῦ Νεκταρίου ἐπιγραφή· «Ἐκ τῆς τῶν διαφόρων ἐξηγητῶν εἰς τὴν τοῦ μακαρίου Ἰὼβ πραγματείαν ἑρμηνείας, ᾗ ἐνετύχομεν πάνυ θαυμασίως ἐν παλαιῷ βιβλίῳ ἐν μεμβράναις κατὰ τὴν σεβασμίαν καὶ ἱερὰν μονὴν τοῦ ἁγίου καὶ θεοβαδίστου ὄρους Σινᾶ, ὅθεν μεταγράψαντες τὴν ἐναρχῆ τῆς βίβλου ὅλην τῆς πραγματείας προθεωρίαν, ἔτι δὲ καὶ ἰδίως τὴν ἑνὸς ἑκάστου τῶν κεφαλαίων, ἃς συντόμως τε ἅμα καὶ φιλοπόνως ὁ θεοφιλέστατος Ὀλυμπιόδωρος ὁ διάκονος συνεγράψατο· ἀλλ' οὖν γε, καίπερ ἱκανῶς ἐχούσαις ταύταις πρὸς κατάληψιν τῆς ὅλης πραγματείας, ἡμεῖς οὐκ ἠρκέσθημεν, ἂν μὴ καί τινας ἐξηγήσεις κειμένων τινῶν, καὶ μάλισθ' ὅσα δύσληπτα δοκοῦσιν εἶναι, τοῖς μετιοῦσιν ἅπαν τὸ ὕφος τῆς ἱστορίας ἐνσημήνασθαι, τῆς ἡμετέρας ἀσθενείας καὶ τοῦ καιροῦ μὴ συγχωροῦντος ἅπασαν τὴν βίβλον μεταγράψασθαι, συγκειμένην οὖσαν ἐκ διαφόρων ἐξηγητῶν, αὐτοῦ τε μάλιστα Ὀλυμπιοδώρου καί τινος Πολυχρονίου λεγομένου, Ἰωάννου τοῦ Χρυσοστόμου, Βασιλείου τοῦ Μεγάλου καὶ Γρηγορίου τοῦ Θεολόγου, ἔτι δὲ καὶ Ὠριγένους καὶ ἑτέρων πλείστων, Ἀπολιναρίου, Ἰουλιανοῦ καὶ Διδύμου καὶ Μεθοδίου Σίδης καὶ Σεβήρου». Μετὰ τὸ τέλος τῶν ἐκλογῶν· «Ἐγράφη ἐν τῷ ἁγίῳ καὶ θεοβαδίστῳ ὄρει Σινᾶ, παρὰ Νεκταρίου, πρώην Ἱεροσολύμων πατριάρχου, ἐκεῖσε ἐπιδημήσαντος.— κατὰ τὸ ͵αχοδον ἔτος. Ἰουλλ(ίου) ιη».

**638**. Τεῦχος χάρτινον ἔτους 1645-ου, ἐκ φύλλων α' + 403 μήκ. 0,302, πλ. 0,194. Τὸ κείμενον φιλοκάλως γεγραμμένον καὶ

μονόστηλον ἐκ γραμμῶν 30. Τὰ ἀρχτικὰ τῶν κεφαλαίων γράμματα καί τινα ἐπίτιτλα κοσμήματα χρώματος ἐρυθροῦ· ἐρυθραὶ δὲ καὶ τῶν κεφαλαίων αἱ ἐπιγραφαί. Ἐν τῷ φ. 15α σημείωμα (ἔτ. 1655) Μίχου τινὸς ἀπὸ χωρίου Σιόρ, τοῦ πρότερον κατόχου τοῦ τεύχους. Ἐν τῷ προτεταγμένῳ φύλλῳ α' «Πίναξ εἰς τὸ προοίμιον τοῦ παρόντος νομίμου». Ἐν τοῖς φ. 1-15 «Πίναξ σὺν Θεῷ ἁγίῳ τοῦ παρόντος νομίμου. Ἰστέον ὅτι τὰ παρόντα κεφάλαια τοῦ ἀλφαβήτου ἅτινα εἰσὶν ἐν τῷ παρόντι νομίμῳ, ἔχουν καὶ ἑτέρας ὑποθέσεις καὶ κρίσαις ἀναμέσον αὐτῶν, καὶ ἐκκλησιαστικαῖς καὶ πολιτικαῖς· καὶ εἰς μὲν τὴν ἀρχὴν τοῦ καθ' ἑνὸς κεφαλαίου ἔχει ἐκκλησιαστικὰς ὑποθέσεις καὶ κανονικάς, πρὸς δὲ τὸ τέλος τοῦ κεφαλαίου ἔχει κρίσαις πολιτικαῖς καὶ πῶς νὰ τιμωροῦνται οἱ πταίσται».

Ἐπιγραφή· «Σύνταγμα κατὰ ἀλφάβητον πασῶν τῶν ὑποθέσεων τῶν ἱερῶν καὶ θείων κανόνων καὶ τῶν νόμων ὁποῦ ἐκοπίασεν ὁ ἐν ἱερομονάχοις σοφώτατος καὶ λογιώτατος κὺρ Ματθαῖος τὸ ἐπίκλην Βλαστάρης· ἐξηγήθη δὲ αὐτὸ ⟨εἰς⟩ πεζὴν φράσιν ὁ ἀπαίδευτος ἁμαρτωλὸς Κουνάλης Κρη(=ι)τόπουλος». Ἀρχ. «Τὸ χρῆμα τῶν ἱερῶν καὶ θαυμαστῶν κανόνων» κτλ., φ. 16-399.—Φ. 399β Ὀφφίκια «τῶν τῆς Ἐκκλησίας ἀρχόντων, ὡς ἡ παλαιὰ ἔχει παράδοσις». Ἀρχ. «Πρῶτος ἐστὶν ὁ οἰκονόμος» κτλ. — Φ. 400β «Τάξεις (=ι) πρωτοκαθεδρίας τῶν ὁσιωτάτων πατριαρχῶν, καὶ αἱ μητροπόλεις καὶ ἀρχιεπισκοπαί, αἱ ὁποῖαι εὑρίσκουνται τὴν σήμερον καὶ εἶναι ὑποκείμεναι τῇ βασιλίδι Κ/πόλει». — Φ. 402α «Περὶ ποῖοι τῶν μητροπολιτῶν ἔχουσι τὴν σήμερον ἐπισκοπάς». — Φ. 403α «Περὶ τῶν μητροπολιτῶν, ποῖοι λέγουνται ὑπέρτιμοι καὶ ἔξαρχοι καὶ ποῖοι ὑπέρτιμοι μόνον».— Ἐν τῷ φ. 403β σημείωμα τοῦ καλλιγράφου ἐρυθροῖς γράμμασι· «Τὸ παρὸν νόμιμον ἐγράφη διὰ χειρὸς ἐμοῦ τοῦ ἐλαχίστου τῶν ἱερέων Γγίνου καὶ οἰκονόμου τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς Πωγωϊαννῆς. ἐν ἔτει ͵ζρνδῳ μηνὶ Σεπτεμβρίω ιςη». Εἶτα· «Νῦν δὲ ἐστὶ τοῦ Ἁγίου Τάφου, καὶ ὅστις τὸ ἀφαιρήσῃ τῆς δεσποτείας αὐτοῦ, εἴη ἀσυγχώρητος καὶ ἀφωρισμένος παρ' ἡμῶν. 1669 Ἰαννουαρίου κγη. + Ὁ Ἱεροσολύμων Δοσίθεος».

**639**. Τεῦχος χάρτινον τῆς 16-ης ἑκατ. ἐκ φύλλων 352 μήκ.

0,29, πλ. 0,20. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 26 καὶ γεγραμμένον κανονικῶς ὑπὸ χειρὸς λογίου. Ἐν τῷ φ. 252 σημείωμα 18-ης ἑκατ. «Ἀιτοῦτο τὸ βυβλίων ἐστεῖν παπᾶ κὺρ Ἀγγέλου υἱοῦ κὺρ Νικειφόρου ἱερομονάχου τὸ ἐπίκλειον Φέτζεις - - - ὁ γράφον Πανταζῆς».

1. Κωνσταντίνου Ῥεσινοῦ βιβλίον καλούμενον Ὁδηγός. Ἐν τοῖς φ. 1-6 «πίναξ τοῦ παρόντος βιβλίου, ἡ καλουμένη ὁδηγός».— Φ. 7ᵃ-161ᵃ «Κωνσταντίνου Ῥεσινοῦ τοῦ Κορινθ(ίου) διδασκαλία καὶ ἐξήγησις ἀπεζῆ (= ἐν πεζῇ) φράσει εἰς τὴν ἑξαήμερον κτίσιν τοῦ Θεοῦ». Ἀρχ. «Προοίμιον. Μὲ τὴν βοήθειαν τοῦ Θεοῦ ἀρχόμεστε τῶρα νὰ ἐξηγήσωμεν» κτλ. — Φ. 162ᵃ-250ᵝ «Κωνσταντίνου Ῥεσινοῦ τοῦ Κορινθ(ίου) ἐξήγησις εἰς πάσας τὰς παραβολὰς τοῦ Εὐαγγελίου ἀπεζῆ φράσις. Συνοπτικὴ ἐξήγησις καὶ πολλὰ εὔμορφη νὰ μάθῃ καὶ νὰ καταλάβῃ πᾶς ἄνθρωπος τὴν σοφίαν καὶ διδασκαλίαν αὐτῶν».

2. «Αὗται αἱ διδαχαὶ εἰσί τινος ἑτέρου». Ἀρχ. «Εἰς τὴν Κυριακὴν τῆς δευτέρας παρουσίας. Ἡ ἁγία Ἐκκλησία, ἀδελφοὶ ἀγαπητοί, κατὰ δύο τρόπους ἀνακαλεῖ ἡμᾶς εἰς μετάνοιαν» κτλ., φ. 251-351ᵝ. Ἀπὸ φ. 344 «τοῦ αὐτοῦ λόγος εἰς τὸ εὐαγγέλιον τῆς ἑνδεκάτης Κυριακῆς τοῦ Λουκᾶ».

**640.** Τεῦχος χάρτινον τῆς 15-ης ἑκατ. ἐκ φύλλων 237 μήκ. 0,292, πλ. 0,205. Τὰ πρῶτα 8 φύλλα πρόσθετα, 18-ης ἑκατ. Φύλλα ἄγραφα· 7, 8, 10.

1. Μέρη νομοκάνονος. α') «Ἔκθεσις νέα ὅπως γράφει νῦν ὁ Κ/πόλεως πατριάρχης τῷ πάπᾳ καὶ τοῖς λοιποῖς πατριάρχαις καὶ ἀρχιεπισκόποις, ναὶ μὴν καὶ τοῖς μητροπολίταις καὶ τοῖς κοσμικὰς ἀρχὰς διϊθύνουσιν», φ. 1ᵃ. — β') «Αἱ ἐξαρχίαι τῶν μητροπολιτῶν», φ. 1ᵝ.— γ') «Ὅπως γράφουσι οἱ μητροπολῖται τῷ πατριάρχῃ Κ/πόλεως» καὶ λοιποῖς, φ. 3ᵃ. — δ') «Τίνα πιττάκια οὔτε ὑπογράφει ὁ πατριάρχης οὔτε βουλ(λ)ώνει, τίνα δὲ ὑπογράφει μέν, οὐ βουλ(λ)ώνει δέ, τίνα δὲ βουλ(λ)ώνει μόνον». Ἀρχ. «Ὁ πατριάρχης οὐχ ὑπογράφει οὔτε τὸν βασιλέα, οὔτε τὴν δέσποιναν» κτλ., φ. 5ᵝ. — ε') «Ποῖα πιττάκια ἔχουσι μολιβδόβουλ(λ)α». Ἀρχ.

«Μολιβόβουλ(λ)α δὲ κεῖνται εἴς τε τὰ βασιλικὰ» κτλ., φ. 6ª. — ς') «Ποῖα πιττάκια ἐπιγράφουσιν οἱ μητροπολῖται καὶ πῶς ταῦτα ἐπιγράφουσιν». Ἀρχ. «Οἱ μητροπολῖται πρὸς μὲν τὸν πατριάρχην» κτλ., φ. 6ª.

2. Κωνσταντίνου Ἀρμενοπούλου πρόχειρον νόμων.—Φ. 11ª «Κριτῶν προκατάστασις ἢ περὶ δικαιοσύνης: —γέγονε δὲ καὶ αὕτη παρὰ τοῦ τὸ βιβλίον τοῦτο συντεταχότος». Ἀρχ. «Ὁ κρίνειν λαχὼν» κτλ. — Φ. 13ª-186ᵝ «Πρόχειρον νόμων τὸ λεγόμενον Ἡ Ἑξάβιβλος, συναθροισθὲν πάντοθεν κατ' ἐκλογὴν καὶ κατ' ἐπιτομὴν οὕτω συντεθὲν παρὰ τοῦ πανσεβάστου νομοφύλακος, τοῦ καὶ κριτοῦ Θεσσαλονίκης, Κωνσταντίνου τοῦ Ἀρμενοπούλου». Ἀρχ. «Προθεωρία+ Βιβλίον νόμων πάλαι πεποίηται» κτλ. Ἐν τῷ φ. 186ᵝ· «Τέλος σὺν θεῷ πάσης τῆς Ἑξαβίβλου». — Φ. 186ᵝ «Θέσπισμα τοῦ μεγάλου Κωνσταντίνου περὶ τοῦ πάπα Ῥώμης». — Φ. 187ᵝ (Φιλοθέου Κ/-πόλεως) «ἀνατροπὴ τῶν ἀναγεγραμμένων ἀναθεματισμῶν». — Φ. 189ª «Νόμοι γεωργικοὶ κατ' ἐκλογὴν βιβλίου τοῦ τῆς θείας λήξεως Ἰουστινιανοῦ βασιλέως». Ἀρχ. «Περὶ γεωργῶν α^{ον}. Χρὴ τὸν γεωργὸν» κτλ.

3. «Ἐπιτομὴ τῶν ἱερῶν καὶ θείων κανόνων. Γέγονε δὲ αὕτη παρὰ τοῦ αὐτοῦ πανσεβάστου νομοφύλακος καὶ κριτοῦ Θεσσαλονίκης κυρίου Κωνσταντίνου τοῦ Ἀρμενοπούλου». Ἀρχ. «Τῶν κανόνων οἱ μέν εἰσι» κτλ., φ. 194ª-226ᵝ. Σχόλια ἐν ταῖς ᾤαις.

4. «Περὶ πίστεως ὀρθοδόξου. Τοῦ αὐτοῦ». Ἀρχ. «Πιστεύειν δεῖ τὸν ὄντως χριστιανὸν» κτλ., φ. 227ª-231ᵝ.

5. «Ἡ γεγονυῖα ὑποτύπωσις παρὰ τοῦ βασιλέως Λέοντος τοῦ Σοφοῦ, ὅπως ἔχουσι τάξεως οἱ θρόνοι τῶν ἐκκλησιῶν τῶν ὑποκειμένων τῷ πατριάρχῃ Κ/πόλεως», φ. 231ᵝ.

6. «Τὰ ὀφφίκια τῆς Μεγάλης Ἐκκλησίας» καὶ «Τὰ ὀφφίκια τοῦ παλατίου», φ. 232ᵝ.

7. Θεοδώρου τοῦ Στουδίτου «σωτηρίας σύντομος διδασκαλία». Ἀρχ. «Ὁ χριστιανὸς μᾶλλον δὲ καὶ μοναχὸς» κτλ., φ. 233ᵝ.

8. Ἰσαὰκ τοῦ Σύρου «ὁποῖον ὀφείλει εἶναι τὸν μοναχόν». Ἀρχ. «Δεῖ τὸν μοναχὸν εἶναι ἐν πᾶσι τοῖς ἑαυτοῦ σχήμασι» κτλ., φ. 234ᵝ.

9. «Τὰ εἰς τὴν Μεγάλην Ἐκκλησίαν (ὀφφίκια)», φ. 235ª.

10. «Διερμήνευσις τῶν ὀφφικίων πάσης τάξεως». Ἀρχ. «Τοῦ παλατίου. Μετὰ τὸν αὐτάνακτα δεσπότης ἔστι, | δεύτερον ἀξίωμα σεβαστοκράτωρ» κτλ.

11. «Λέξεων ῥωμαϊκῶν συναγωγὴ κατὰ ἀλφάβητον», φ. 237α.

**641**. Τεῦχος χάρτινον τῆς 16-ης ἑκατ. ἐκ φύλλων 226 μήκ. 0,285, πλ. 0,20. Τρεῖς γραφικοὶ χαρακτῆρες. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 27-28. Ἐπὶ τῆς κάτω ᾤας τοῦ φ. 1α· «Ἐκ τῶν τοῦ Χρυσάνθου ἱερομονάχου» (= τοῦ Νοταρᾶ).

1. «Προθεωρία ἐκτεθεῖσα σαφῶς ἄγαν παρὰ τοῦ ἀδελφιδοῦ τοῦ τὴν ἀρίστην ταύτην πραγματείαν συστησαμένου, διὰ βραχέων ῥημάτων ὡς οἷόν τε τὸ πᾶν τῆς ὑποθέσεως ἐκτιθεμένη». Ἀρχ. «Τοῦτο τὸ βιβλίον συνέστη μὲν κατὰ τῆς τῶν Λατίνων καινοτομίας» κτλ., φ. 1α.

2. «Τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου πατρὸς ἡμῶν Νείλου ἀρχιεπισκόπου Θεσσαλονίκης, τοῦ Καβάσιλα, λόγος ἀποδεικνὺς μὴ ἄλλο τι τὸ τῆς διαστάσεως τῆς Λατίνων ἐκκλησίας καὶ ἡμῶν μέχρι τοῦ παρόντος αἴτιον εἶναι, ἢ τὸ μὴ βούλεσθαι τὸν πάπαν οἰκουμενικῇ συνόδῳ τὴν τοῦ ἀμφισβητουμένου διάγνωσιν ἐπιτρέψαι, ἀλλ' αὐτὸν μόνον διδάσκαλον ἐθέλειν τοῦ ζητουμένου καθέζεσθαι, τοὺς δὲ ἄλλους ἐν μαθητοῦ μοίρᾳ ὑπακούοντας ἔχειν· καὶ ὅτι τὸ τοιοῦτον ἀλλότριον τῶν ἀποστολικῶν νόμων καὶ πράξεων». Ἀρχ. «Ἡγούμεθα δεῖν πρὸς Λατίνους» κτλ., φ. 1β.

3. «Τοῦ αὐτοῦ περὶ τῆς τοῦ πάπα ἀρχῆς». Ἀρχ. «Φασὶν οἱ Λατῖνοι» κτλ., φ. 6β.

4. Τοῦ αὐτοῦ «περὶ τοῦ ἁγίου πνεύματος, ἐν ᾧ ἀντιλέγει Λατίνοις ἐν τοῖσδε τοῖς κεφαλαίοις». Ἀρχ. «Πρῶτον μὲν ἀρχαία τίς ἐστι δόξα» κτλ., φ. 18β. Διήρηται εἰς μθ' κεφάλαια.

5. Τοῦ αὐτοῦ «πρὸς τὸ συμπέρασμα ἢ περὶ τοῦ ἁγίου πνεύματος» λόγοι δ'. Ἀρχ. «Καὶ ταῦτα μὲν ἡ τῶν Λατίνων ἐκκλησία» κτλ., φ. 28α.

6. «Τοῦ αὐτοῦ ἐκ τοῦ ἐναντίου πρὸς τὸ συμπέρασμα λόγος εος ἀπὸ τῆς πρώτης πράξεως τῶν ἐν τῇ ς' συνόδῳ πραχθέντων». Ἀρχ. «Καὶ μὴν καὶ ἐκ τῆς ἁγίας» κτλ., φ. 73α.

7. (Τοῦ αὐτοῦ). «Λύσις τῶν προτάσεων τῶν Λατίνων, ἐξ ὧν συνάγειν οἴονται τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι». Ἀρχ. «Λατίνων κεφ. α$^{ον}$. Πρῶτον μὲν ἀρχαία τίς ἐστι» κτλ., φ. 83$^{β}$.

8. «Τοῦ αὐτοῦ, ὅτι οὐκ ἔστι Λατίνοις συλλογισμοῖς χρωμένοις ἀποδεῖξαι τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ υἱοῦ ἐκπορευόμενον». Ἀρχ. «Λοιπὰ δὲ οἱ συλλογισμοὶ» κτλ., φ. 151$^{α}$.

9. «Ἀπὸ τῆς ἐπιστολῆς τοῦ πάπα Ἰωάννου πρὸς τὸν ἁγιώτατον Φώτιον πατριάρχην Κ/πόλεως». Ἀρχ. «Καὶ γὰρ ἡ σὴ ἀδελφότης ἐπίσταται» κτλ., φ. 202.

10. «Περὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου, ἥτις ἀποκατέστησε Φώτιον τὸν ἁγιώτατον πατριάρχην εἰς τὸν θρόνον Κ/πόλεως καὶ διέλυσε τὰ σκάνδαλα τῶν δύο Ἐκκλησιῶν, τῆς τε παλαιᾶς καὶ νέας Ῥώμης». Ἀρχ. «Ἀπὸ τοῦ λόγου τοῦ Βέκκου» κτλ., φ. 203$^{α}$-210$^{β}$.

11. «Τοῦ σοφωτάτου καὶ λογιωτάτου κῦρι Βαρλαὰμ λόγος περὶ τῆς τοῦ πάπα ἀρχῆς». Ἀρχ. «Οἱ περὶ τὰς ἐπιστήμας δεινοὶ» κτλ., φ. 219$^{β}$-226.

**642**. Τεῦχος μεμβράνινον τῆς 11-ης ἑκατ. ἐκ φύλλων 191 μήκ. 0,282, πλ. 0,215.

Διονυσίου τοῦ Ἀρεοπαγίτου συγγραφαὶ μετὰ πυκνῶν ἐν ταῖς ᾤαις σχολίων. — Φύλλ. 1$^{α}$ «Πρόλογος εἰς τὸν ἅγιον Διονύσιον». Ἀρχ. «Τὴν μὲν εὐγένειαν» κτλ. — Φ. 3$^{α}$ «Ἐπίγραμμα εἰς τὸν μακάριον Διονύσιον περὶ τῆς οὐρανίου ἱεραρχίας» (δίστιχον). Ἀρχ. «Ἀγγελικῆς σοφίης ἀμάρυγμα» κτλ. — Φ. 3$^{α}$ «Τῷ συμπρεσβυτέρῳ Τιμοθέῳ Διονύσιος πρεσβύτερος περὶ τῆς οὐρανίου ἱεραρχίας». Ἀρχ. «Κεφάλαιον πρῶτον: — Ὅτι πᾶσα θεία ἔλλαμψις κατὰ ἀγαθότητα» κτλ. Τῶν σχολίων ἡ ἀρχή· «Ἐπειδὴ ἡ ἐπιγραφὴ ἱεραρχίαν ἔχει» κτλ. Εἰς φ. 40$^{β}$ τὸ «Τέλος τοῦ περὶ τῆς οὐρανίου ἱεραρχίας λόγου Διονυσίου Ἀρεοπαγίτου ἐπισκόπου Ἀθηνῶν πρὸς Τιμόθεον ἐπίσκοπον».—Φ. 41$^{α}$ «Κεφάλαια τοῦ περὶ θείων ὀνομάτων». — Φ. 42$^{β}$ «Ἐπίγραμμα» τρίστιχον. Ἀρχ. «Σὸν νόον ἀρδεύσας Διονύσιε χεύμασι» κτλ. — Φ. 42$^{β}$ «Ἄλλο» τρίστιχον. Ἀρχ. «Εἰς νέον αἰγλήεντα» κτλ. — 42$^{β}$ Ἀνεπίγραφον. Ἀρχ. «Οὗτος ὁ

μακάριος, ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν» κτλ. — Φ. 42$^β$ «Ἐπίγραμμα» τρίστιχον. Ἀρχ. «Μουσοπόλας μελεδῶνας» κτλ. — Φ. 43$^α$-125$^β$ «Περὶ θείων ὀνομάτων». Ἀρχ. «Νῦν δὲ ὦ μακάριε» κτλ. Τῶν σχολίων ἡ ἀρχή· «ᾱ. Ὅτι τὸ τοῦ πρεσβυτέρου ὄνομα καὶ τὸν ἐπίσκοπον δηλοῖ» κτλ.—Φ. 125$^β$ κέ. «Διονυσίου Ἀρεοπαγίτου ἐπισκόπου Ἀθηνῶν πρὸς Τιμόθεον ἐπίσκοπον περὶ τῆς ἐκκλησιαστικῆς ἱεραρχίας». Ἀρχ. «Ὅτι μὲν ἡ καθ' ἡμᾶς» κτλ. — Φ. 169$^β$ κέ. «Τοῦ αὐτοῦ πρὸς Τιμόθεον ἐπίσκοπον περὶ μυστικῆς θεολογίας. Τῷ συμπρεσβυτέρῳ Τιμοθέῳ Διονύσιος ἐπίσκοπος». Μετὰ τὴν ἐπιγραφὴν ταύτην «ἐπίγραμμα» τρίστιχον, οὗ ἡ ἀρχή· «Καὶ νόον αἰγλήεντα λείπει» κτλ. Εἶτα τὸ κείμενον τοῦ περὶ μυστικῆς θεολογίας. — Φ. 176$^α$-191$^β$ «Τοῦ αὐτοῦ ἐπιστολαὶ διάφοροι» μετὰ σχολίων. Ἐν τῷ φ. 191$^β$· «+ Ἐπληρώθησαν αἱ δέκα ἐπιστολαὶ Ἀρεοπαγίτου ἐπισκόπου Ἀθηνῶν: — χάρις θεῷ τελείω: — Χ(ριστ)έ, τόκος μεγάλοιο θεοῦ μεδέοντος ἁπάντων | ///κρατίεις κόσμοιο καὶ ἐς τέλος αὐτὸς ἀνάσσοις. | σὴ σοφίη κροτόεις σῇ σοφίη νόθος ἐκ ///ῆς ἀλάσθω.+ϛϞλνγωϞλχ: 'θοεμθνϛϘέϞθω, ωυλ'οϞθ 'λοθ» (=Διονυσίου Ἀλεξανδρείας, σχόλια ὅλα». Ἐν τῷ αὐτῷ φύλλῳ προσθήκη ἐπιγράμματος διὰ στοιχείων ἐρυθρῶν 14-ης ἑκατ., ἔχοντος οὕτως·

+ Ἅπαξ ἀναγνοὺς τὴν βίβλον ταύτην ὅλην
ὡς εἰς βυθὸν πέπτωκα σοῖς σοφοῖς λόγοις
καὶ πνίγομαι· φεῦ, χεῖρα δός μοι, παμμάκαρ
δοτὴρ Διονύσιε τῶν γεγραμμένων,
καὶ τοῦ κλύδωνος τῆς ἀγνωσίας ῥῦσαι
τὸν οἰκέτην σου Γεώργιον τὸν τάλαν.

**643**. Τεῦχος χάρτινον μήκ. 0,29, πλ. 0,202, συνενοῦν δύο διάφορα χειρόγραφα σελίδας ἀμφότερα ἀριθμοῦντα 659, ὧν τινες ἄγραφοι (248-252, 378-384)[1]. Τὸ κείμενον μονόστηλον, γραφὲν μέχρι μὲν τῆς σελίδος 366 ἔτει 1661-ῳ, μέχρι δὲ τῆς σελίδος 659 ἔτει 1689-ῳ. Μετὰ τὴν πρώτην πινακίδα ὑπάρχει παράφυλλον, ἐν ᾧ περιέχονται δύο σημειώματα· α') «Ἐκ τῶν τοῦ Γρηγορίου ἱερο-

[1] Περιεγράφη τοῦτο πρότερον ἀνεπαρκῶς τε καὶ ἀνακριβῶς ἐν μέρει ὑπὸ J. Pargoire ἐν τοῖς Échos d' Orient, 1908, τ. 11, σ. 275.

μονάχου Μελισσηνοῦ τοῦ Κρητός, καὶ Συ(=ι)ναΐτου καὶ τῶν φίλων».—β') «Ἐκ τῶν τοῦ Νεοφύτου ἱερομονάχου Νοταρᾶ τοῦ Πελοποννησίου, καὶ Ἁγιοταφίτου, καὶ τῶν φίλων, καὶ τέλος τοῦ Παναγίου Τάφου». Αὐτόθι καὶ ἐπιγραφὴ διὰ χειρὸς τοῦ γράψαντος τὸ πρῶτον μέρος τοῦ κώδικος ἔχουσα οὕτω·

1. «Σύνοψις θεολογίας τοῦ σοφωτάτου καὶ λογιωτάτου Ζαβράνου. περὶ θεολογίας κατὰ τὸ ,αον χον ξαον ἔτος». Σελ. 1-174 «Θεωρία. Περὶ τῆς μοναδικῆς καὶ τρισυποστάτου τοῦ Θεοῦ οὐσίας. Τῆς ἀδιαιρέτου τριάδος τριμερὴς ἡ θέα καὶ ἀδιαίρετος» κτλ.

2. «Ἐκ τοῦ κατὰ Ἑλλήνων τρίτου βιβλίου Θωμᾶ τοῦ Ἀκουΐνου. Περὶ τῆς σαρκώσεως τοῦ Λόγου κατὰ τὴν παράδοσιν τῶν θείων Γραφῶν». Ἀρχ. «Κεφάλαιον κηον. Ἐπεὶ δ' ἀνωτέρω ὅπου περὶ τῆς θείας γεννήσεως» κτλ., σ. 175-247.

3. Ἀδήλου. «Τίς ὁ τοῦ ποιητοῦ σκοπὸς ἐν τῇ παρούσῃ πραγματείᾳ. Κεφάλαιον πρῶτον. Ἡ δὲ περὶ τὴν σοφίαν σπουδὴ» κτλ., σ. 253-366. Διήρηται εἰς κεφάλαια ργ'.

4. «Ἀπάνθισμα ὡραῖον. Θεολογικόν. τοῦ σοφωτάτου Μιχαὴλ Χορτακίου τοῦ Κρητός», σ. 367-377. Ἀρχ. «Περὶ ὀπτασίας ἁγίων. Αον. Καίπερ τὸ θεῖον οἱ περὶ ἡμᾶς ὅτι μάλιστα» κτλ.

5. «Μελετίου Συρίγου ἱερομονάχου ἀντίρρησις πρὸς τὴν ἐκδοθεῖσαν ὁμολογίαν τῆς χριστιανικῆς πίστεως ὑπὸ τοῦ Κ/πόλεως Κυρίλλου, ἐπιγραφεῖσαν ἐν ὀνόματι τῶν χριστιανῶν ἁπάντων τῆς Ἀνατολικῆς Ἐκκλησίας», σ. 385-621. Ἀρχ. «Ἤρκει μὲν ἡμῖν καὶ πρὸς ἕνα μόνον ἀντιπαρατάττεσθαι» κτλ.

6. «Μελετίου ἀντίρρησις πρὸς τὰς τέτταρας ἐρωταποκρίσεις τοῦ Κυρίλλου», σ. 622-653. Μετὰ τὸ πέρας αὐτῆς· «Ἐτελειώθη κατὰ τὸ ,αχπθον ἔτος τῆς σωτηρίας ἐν μηνὶ Ἰουνίῳ κς' ἰνδικτιῶνος ιβ' εἰς τὴν ἁγίαν πόλιν Ἱερουσαλὴμ ἔνδον τοῦ Ἁγίου Τάφου».

7. «Προτάσεις τινὲς καὶ αἱρέσεις τοῦ Καλουΐνου, ἐκ πολλῶν ὀλίγαι», σ. 655-659. Μετὰ τὸ πέρας αὐτῶν· «1689, Δεκεμβρίου ιεη, ἐν τῇ ἁγίᾳ πόλει Ἱερουσαλήμ».

**644**. Τεῦχος χάρτινον ἐκ φύλλων α' + 333 μήκ. 0,290, πλ. 0,200. Φύλλα ἄγραφα· 42, 43.—Ἀντίγραφον ἐντύπου βιβλί-

ου, οὗ ἡ ἐπιγραφὴ ἐν τῷ φύλλῳ α'· «Canones ss. apostolorum, conciliorum generalium et provincialiorum: Sanctorum patrum epistolae canonicae quibus praefixus est Photii C/tani patriarchae nomocanon κτλ. Lutetiae Parisiorum MDCXX - - - Μετεγράφη δὲ παρ' ἐμοῦ Ματθαίου ἱερέως Κυπρίου, τὸ ἐπίκλην Κιγάλα εἰς Βενετίαν. ἐν ἔτει ,αχλη^ῳ. ἐτελειώθη δὲ χάριτι Χ(ριστο)ῦ ἐν μηνὶ Νοεμβρίῳ. η'. καὶ οἱ ἐντυγχάνοντες εὔχεσθε». Μεταξὺ τῶν φ. 1^α-12^α χεὶρ 18-ης ἑκατ. προσέθηκε τοῦτο· «Πίναξ κατὰ στοιχεῖον τῶν δεκατεσσάρων τίτλων τῶν παρὰ τοῦ ἁγιωτάτου πατριάρχου κυρίου Φωτίου συγγραφέντων». Καὶ μεταξὺ τῶν φ. 12^β-41^β «Ἕτερος πίναξ κατὰ στοιχεῖον τῶν μετὰ τοὺς ιδ' τίτλους ἑξῆς τῆς βίβλου».

**645**. Τεῦχος χάρτινον ἐκ φύλλων 107. Αὐτόγραφον Χρυσάνθου Νοταρᾶ μετὰ διορθώσεων αὐτοῦ καὶ διαγραφῶν. —Ἐπιγραφή· «Ἐν Παταβίῳ. 1697.—Ἀνθολογία ἱστορική». Ἀρχ. «Ἀπὸ κτίσεως κόσμου ἄχρι τῆς τελευτῆς τοῦ Χριστοῦ. Κεφ. α^ον». Ἐν τῷ φ. 107^β· «Τέλος τῆς ἐπιτομῆς τῆς καθολικῆς ἱστορίας καὶ τῷ ἁγίῳ Θεῷ ἡ δόξα αἰώνιος».

**646**. Τεῦχος χάρτινον ἐκ φύλλων γ' + 412 μήκ. 0,285, πλ. 0,20. Τὸ κείμενον μονόστηλον, γραφὲν περὶ τὸ τέλος τῆς 17-ης ἑκατ. Τὰ ὑπ' ἀριθ. α'-γ' φύλλα περιέχουσιν ἐν ἑαυτοῖς «πίνακα τοῦ παρόντος βιβλίου»· πρὸ δὲ τῆς ἀρχῆς αὐτοῦ ἐπὶ τῆς ὤας ἀναγινώσκεται τοῦ Χρυσάνθου Νοταρᾶ σημείωμα αὐτόγραφον ἔχον οὕτως· « + Ὁ Ἱεροσολύμων Χρύσανθος ἐδωρήσατο τῇ ἐν Βουκουρεστίῳ ἱερᾷ πατριαρχικῇ μονῇ τοῦ ἁγίου Γεωργίου καὶ ὁ ἀφαιρησόμενος ἐχέτω τὸ ἀνάθεμα. 1719. μηνὶ Ὀκτωβρίῳ».

Ἰωσὴφ Βρυεννίου συγγραφαὶ μς'. Ἡ πρώτη (φ. 1^α)· «Λόγος α' περὶ τῆς ὑπερθέου Τριάδος· εἴρηται ἐν τῷ παλατίῳ Τρικλίνῳ: — Θεὸς ἡ ἁγία μονὰς» κτλ. Ἡ ἐσχάτη συγγραφὴ ἀπὸ φ. 394 κέ. «Τοῦ αὐτοῦ λόγος συμβουλευτικὸς περὶ τῆς ἑνώσεως τῶν ἐκκλησιῶν τῆς μελετωμένης γενέσθαι κατ' ἐκεῖνο καιροῦ· εἴρηται δὲ ἐν τῷ συνοδικῷ τῆς τοῦ Θεοῦ Μεγάλης Ἐκκλησίας: — Θεὸς ὁ πάντα ποιῶν» κτλ.

**647**. Τεῦχος χάρτινον τῆς 15-ης ἑκατ. ἐκ φύλλων 239

μήκ. 0,292, πλ. 0,205. Τὸ κείμενον μονόστηλον (ἐκ γραμμῶν 28), ἔχον πολλαχοῦ κοσμημάτια χρωματιστά, πάντα δὲ τὰ ἀρκτικὰ κεφαλαιώδη στοιχεῖα μεγάλα καὶ χρωματιστά. Ἐν τῷ φ. 1ª κόσμημα πιοειδὲς ἐρυθροῦ χρώματος. — Ἀσματικὰ μηναῖα τῶν μηνῶν Μαρτίου, Ἀπριλίου, Μαΐου, Ἰουνίου, Ἰουλίου καὶ Αὐγούστου, τοῦ τελευταίου μένοντος κεκολοβωμένου διὰ τὴν ἀπώλειαν δύο ἢ τριῶν φύλλων. Ἀρχ. «Οὗτος ἀρχὴ μηνῶν καὶ πρῶτος διαγορεύεται». Τέλος· «Μηνὶ τῷ αὐτῷ λα. τὰ καταθέσια τῆς τιμίας ζώνης τῆς ὑπεραγίας Θεοτόκου. Εἰς τὸ *Κύριε ἐκέκραξα* ἱστῶμεν στίχους ς΄ καὶ ψάλλομεν - - -».

**648**. Τεῦχος χάρτινον ἐκ φύλλων 326 μήκ. 0,292, πλ. 0,21. Τὰ πρῶτα 234 φύλλα βομβύκινα γραφέντα μεταξὺ τῶν ἐτῶν 1267-1275 ὑπὸ Μανουὴλ ἱερέως Στυλιανοῦ· τὰ δὲ λοιπὰ (φ. 235-326) ἐκ χάρτου συνήθους καὶ μεταγενέστερα τῶν πρώτων, τῆς 16-ης ἑκατ. Τὸ κείμενον μονόστηλον. Ἐν τῷ φ. 233β πρόσθετον σημείωμα· «+ ἐπαρέλαβεν ὁ παναγϊώτατος καὶ π(ατ)ὴρ ἡμῶν ὁ πν(ευματ)ικὸς κῦρις Ἰσήδωρος. τὴν μονὴν τοῖς Θαραπιότίσις. ἐνέτι ςου ͲΡου νου Γης ἰν(δικτιῶ)νος ~ Ἰουλλίω ε». Τὸ ἔτος ὅμως τοῦτο, ἂν μὴ κακῶς ἀντεγράφη παρ' ἐμοῦ, πάντως ἔστιν ἐσφαλμένον· ἡ γὰρ 3-η ἰνδικτιὼν συμπίπτει ἀκριβῶς ἔτει ,ςͲΡξγ΄· ἄλλως τε ὁ λόγος ἐν τῷ σημειώματι οὐχὶ περί τινος ἀορίστου Ἰσιδώρου, ἀλλ' ὡς ἐγὼ νομίζω περὶ τοῦ οὕτως ὠνομασμένου οἰκουμενικοῦ πατριάρχου, Ἰσιδώρου τοῦ 1-ου, ὅστις ἀληθῶς ἦν πρότερον πνευματικὸς πατὴρ καὶ οὕτως ἐν ταῖς πατριαρχικαῖς ὀνομάζεται χρονογραφίαις.

Ἀσματικὰ μηναῖα Σεπτεμβρίου, Ὀκτωβρίου καὶ Νοεμβρίου. Ὁ μὴν Σεπτέμβριος ἀκέφαλος, ἀρχόμενος ἀπὸ τῶν ἑξῆς λέξεων δοξαστικοῦ Ἰωάννου μοναχοῦ ψαλλομένου τῇ 1-ῃ Σεπτεμβρίου· «---θοσαν οὗτοι ἐν σκηναῖς σου* καὶ τὸν πανάγιον τόπον ἐμίαναν, σῶτερ» κτλ. Ὁ μὴν Νοέμβριος κεκολοβωμένος. Ἐπὶ τῆς ἄνω ᾤας τοῦ φ. 119, ὅθεν ἄρχεται τὸ μηναῖον τοῦ Νοεμβρίου ὁ καλλιγράφος διὰ γραμμάτων ἐρυθρῶν ἐδήλωσε το ἑαυτοῦ ὄνομα διὰ τοῦ ἑξῆς κρυπτογράφου·

⁘ υὲκͲΡλβζλχψσνὲξͻνκλνβξϑ'ψσν: —

ξϑν'λχβο ωψϋοχ'ϑνλὼ 'ϟὲͲΡεχ'ω: —

ἤτοι «Χ(ριστ)έ, προηγοῦ τῶν ἐμῶν πονημάτων: —Μανουὴλ Στϊλϋάνὸς ἱερεὺς». Ἐν τῷ φ. 116β «στίχοι» τοῦ αὐτοῦ καλλιγράφου ἔχοντες οὕτως·

Ἄλλος μὲν ἄλλο τῷ ναῷ τῳδὶ φέρει: —
οὗ ζῶσα κράτος σοφία Θεοῦ Λόγος:—
ποθῶν κακῶν λύτρωσιν εὑρεῖν ἐν κρίσει: —
ὁ δ' Ἰωσήφ, τὸ θαῦμα τῆς οἰκουμένης:—
ὁ πατριάρχης τῆσδὲ τῆς βασιλίδος:—
ὁ χρυσοβρύτης ἅμα καὶ πτωχοτρόφος: —
μηνῶν βίβλους τίθησι πρὸς δυσὶ δέκα [1].

Μετὰ τοὺς στίχους τούτους ὁ αὐτὸς καλλιγράφος προσέθηκε τὸ ἑξῆς κείμενον (φ. 116β-118β)· «Ἀκολουθία εἰς τὸν ἅγιον Ἀρσένϊον, πατριάρχην Κωνσταντινουπόλεως [2]: ἥτις τελεῖται τῇ τριάκοστῇ τοῦ Σεπτεβρίου μηνός». Ἀρχ. «Στιχηρά, ἦχος α'. Τῆς Βϋζαντίδος τὸ κλέος. — Πρὸς ⟨τὸ⟩ Τῶν οὐρανίων ταγμάτων. —Ἀρχιεράρχα Χριστοῦ, * τῶν μοναζόντων ἡ δόξα * καὶ ποιμὴν οἰκουμένης, Ἀρσένιε τρισμάκαρ, * ῥῦσαι ἡμᾶς τοὺς ὑμνοῦντάς σε, ἔνδοξε, * ἀπὸ παντοίων κινδύνων καὶ πειρασμῶν * ὡς Κυρίῳ παριστάμενος». Ὁ τῆς ἀκολουθίας ταύτης κανὼν εἰς ἦχον δ' ἄνευ ἀκροστιχίδος καὶ ἀνώνυμος, τὰ τροπάρια μόνον ἔχων κατὰ τὴν τάξιν τοῦ ἀλφαβήτου.

**649.** Τεῦχος μεμβράνινον ἐκ φύλλων 376 μήκ. 0,28, πλ. 0,215. Φύλλα πρόσθετα (εἰς ἀναπλήρωσιν ἑτέρων προαπολεσθέντων) 1, 2, 99, 221-225, 258-262, 371-376. Καὶ ταῦτα μὲν ἐγράφησαν τῇ 14-ῃ ἑκατ., τὰ δὲ λοιπὰ πάντα (3-98, 100-220, 226-257, 263-370) ἐν τῷ δευτέρῳ ἡμίσει τῆς 10-ης ἑκατ. Ἐπὶ τῆς κάτω ᾤας τοῦ φ. 1α· «Τὸ παρὸν βιβυλιον ὑπάρχει ἐμοῦ Θεοδοσίου ἱερέος Ρωμάνι» (?).—Λειτουργικὸν Εὐαγγέλιον μετὰ μουσικῶν σημαδίων ἐρυθρῶν· οὗ τὸ κείμενον δίστηλον ἐκ γραμμῶν 21, κεκοσμημένον τρισὶ πιοειδέσι καὶ πολυαρίθμοις ταινιοειδέσι κεχρωματισμένοις καὶ

[1] Ὁ λόγος ἐν τῷ ἐπιγράμματι περὶ προσφορᾶς τῷ ναῷ τῆς Ἁγίας Σοφίας μηναίων τοῦ ἐνιαυτοῦ ὑπὸ τοῦ πατριάρχου Ἰωσὴφ τοῦ ἀπὸ Γαλησίου, γεγραμμένων κατὰ τὴν πρώτην ἀναμφιβόλως μακρὰν αὐτοῦ πατριαρχίαν (26 Δεκ. 1267— Μαΐου 1275) ὑπὸ τοῦ καλλιγράφου Μανουὴλ ἱερέως Στυλιανοῦ. [2] Νοητέος Ἀρσένιος ὁ Αὐτωρειανός.

ἐπιχρύσοις κοσμήμασιν, ἔτι δὲ μεγάλοις ἐγκόσμοις ἀρκτικοῖς γράμμασι κεφαλεώδεσιν, ἅπασιν ἐγχρώμοις καὶ ἐπιχρύσοις. Ἐπὶ τῆς πρώτης σελίδος κόσμημα πρόσθετον (14 ἑκ.), σχήματος τετραγώνου, χρωματιστὸν καὶ ἐπίχρυσον. Ἀπὸ φ. 289β-364 μηνολόγιον τῶν εὐαγγελίων, ἔχον ἐν τῷ φ. 284β καὶ τὴν ἑξῆς διάταξιν· «ς' (=Φεβρουαρίου) τοῦ ἁγίου Βουκόλου ἐπισκόπου Σμύρνης: ζήτη Σά(β-βατον) ζ' τοῦ Λουκᾶ: Τῇ αὐτῇ ἡμέρα μνήμη Φωτίου πατριάρχου Κωνσταντινουπόλεως. ζήτη Σεπτε(μβρίου) γ'». Ἀπὸ φ. 364β «Εὐαγγέλια ἀναγινωσκόμενα εἰς διαφόρους μνήμας καὶ λιτὰς καὶ λειτουργίας καὶ παννυχίδας τῆς Μεγάλης Ἐκκλησίας, ἃς πολλάκις ποιεῖ». Ἀπὸ φ. 365α «Εὐαγγέλια ἑωθινὰ ἀναστάσιμα τὰ ια'»[1].

**650**. Τεῦχος χάρτινον ἐκ φύλλων 219 μήκ. 0,245, πλ. 0,17. Ἐγράφη τῇ πρώτῃ δεκάδι τῆς 19-ης ἑκατ.—Σεργίου Μακραίου ἐπιστολαὶ αὐτόγραφοι (1774-1803), ὧν ἡ μὲν πρώτη «τῷ πανιερωτάτῳ καὶ σοφωτάτῳ ἐν ἀρχιερεῦσι Εὐγενίῳ Βούλγαρι εἰς Πετρούπολιν», ἡ δ' ἐσχάτη τῷ ἐν Σάμῳ διδασκάλῳ Ἰακώβῳ (1785). Κατάλογον ἁπασῶν τῶν ἐπιστολῶν τούτων ἐξέδωκε Κ. Σάθας, Μεσ. βιβλιοθήκη τ. 3, σ. πδ', 540-544.

**651**. Τεῦχος χάρτινον τῆς 18-ης ἑκατ. (μήκ. 0,248, πλ. 0,178) ἐκ σελίδων ἠριθμημένων 582, ὧν ἱκαναὶ ἄγραφοι (σ. 69-75, 77, 78, 421-425, 434-435, 459-465, 545, 558-561, 577). Ἐπὶ παραφύλλου τῆς πρώτης πινακίδος· «+ Ὁ Θαβωρίου Ἱερόθεος κανονικὸς διάδοχος τοῦ Ἱεροσολύμων: ἀνεγίνωσκον τὴν παροῦσαν βίβλον ὑπὸ τοῦ μακαρίτου Δ: Σεργίου: τοῦ Μακραίου: συγγραφεῖσαν.—Ἐκ τῶν τῆς βιβλιοθήκης τοῦ Παναγίου Τάφου: ὁ δὲ ἀφαιρησόμενος ἔνοχος ἔσται καταδίκης . . . . Ἐν Κ/πόλει. αωμθ'».

Σεργίου Μακραίου συγγραφαὶ αὐτόγραφοι.

1. Σελ. 1-458. «Ὑπομνήματα ἐκκλησιαστικῆς ἱστορίας» διῃρημένα εἰς πέντε τμήματα, μετά τινων σημειώσεων. Ἐξέδωκε ταῦτα ἐντεῦθεν Κ. Σάθας, Μεσ. βιβλιοθήκη, τ. 3, σ. 201-419.

[1] Τὸ εὐαγγέλιον τοῦτο περιέγραψε καὶ Ἐ. Ἰωαννίδης (Ὁ ἐν Κ/πόλει Ἑλλ. Φιλολ. Σύλλογος, 1864, τ. 2, σ. 63)· ἀλλὰ κακῶς διακρίνας τὴν αὐτοῦ παλαιότητα μετέφερεν ἀπὸ τῆς 10-ης εἰς τὴν 12-ην ἑκατονταετηρίδα.

2. Σελ. 466-529. «,Αψξη^ω: κατὰ μῆνα Δεκέμβριον. Πολιτικὴ σχέδη, δι' ἧς ἄν τις κρίνοι οἷα τὰ κατὰ τὸ πολίτευμα». 'Αρχ. «Τῶν κοινῇ πραττομένων» κτλ.

3. Σελ. 530-544. «'Εγκώμιον» εἰς τὴν ἁγίαν μάρτυρα Μαρῖναν. 'Αρχ. «'Ωσὰν ἕνα πέλαγος ἀχανὲς» κτλ.

4. Σελ. 546-557. «'Επιγράμματα διάφορα», ὧν τινα (γ'-ς', ι', ιγ'-ιε') ἐξέδωκε Κ. Σάθας (Μεσ. βιβλιοθ. τ. 3, σ. ρθ'-ρια').— α') «Εἰς τὸν νάρθηκα τοῦ ναοῦ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου, πρόγραμμα λιτῆς». — β') «Εἰς εἰκόνας». — γ') «Εἰς τὴν ἐν Φαναρίῳ νεόδμητον σχολήν». — δ') «'Αμοιβαῖον». — ε') 'Ανεπίγραφον εἰς οἶκον 'Αλεξάνδρου 'Υψηλάντου. — ζ') «Προσφωνηματικόν». — η') «Εἰς τὴν ἑβδομάδα». — θ') «Εἰς πηγήν». — ι'-ια') «Εἰς ξενοδοχεῖον». — ιβ') «Εἰς τὴν Σειρὰν τῶν Πατέρων».—ιγ') «Εἰς εἰκόνα ἀρχιερέως». — ιδ'-ιε') «Εἰς εἰκόνα Φριδερίκου βασιλέως». — ις') «Προσφωνηματικὸν τῇ πρώτῃ ἐλθούσῃ πολεμικῇ νηΐ τῶν 'Ρώσων εἰς Κ/πόλιν». — ιζ'-ιη') «Πρὸς τὸν ἁρμοστὴν Νικόλαον 'Ρεπνῖνον».—ιθ'-κ') «Εἰς ναόν». — κα') «Εἰς τὴν ἅλωσιν τῆς 'Ολβίας ἤτοι 'Οζιοῦς ἐν ἔτει ,αψπ'».— κβ') «'Επὶ τῆς ἐν Πόντῳ ναυμαχίας τῷ ,αψϞα' ἔτει, κατὰ διάλογον τοῦ 'Οθωμανικοῦ στόλου». — κγ') «Εἰς τὸν πρέσβυν Ταλίνσκην».

5. Σελ. 562-568. «'Επὶ τῆς λαμπροφόρου ἐπιγράμματα».

6. Σελ. 569-576. «'Ωδὴ ἐν μέτροις ἀναχρεοντείοις».

7. Σελ. 578-582. «'Επιτύμβια» 12, ἃ ἐξέδωκεν ἐντεῦθεν Κ. Σάθας, Μεσ. βιβλιοθ. τ. 3, σ. ρια'-ριγ'.

**652.** Τεῦχος μεμβράνινον τῆς 13-ης ἑκατ. ἐκ φύλλων 152 (0,238×0,17), ὧν τὸ πρῶτον κεκολοβωμένον. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 22-25. 'Εν τῷ φ. 1^α κόσμημα πιοειδὲς κιτρίνου καὶ ἐρυθροῦ χρώματος. 'Εν ἄλλοις πολλοῖς φύλλοις κοσμήματα ταινιοειδῆ ἢ ὀφεοειδῆ. Τὰ ἀρκτικὰ κεφαλαιώδη γράμματα μεγάλου μὲν σχήματος, ἀλλ' ὅλως ἐρυθρά. — Λειτουργικὸν Εὐαγγέλιον Σαββατοκυριακόν, ἀρχόμενον ἀπὸ τῆς Κυριακῆς τοῦ Πάσχα. Κεκολοβωμένον. Μεταξὺ τῶν φ. 100^β-151^α τὸ μηνολόγιον αὐτοῦ. 'Απὸ φ. 151^β-152^β «Εὐαγγέλια ἀναγινωσκόμενα εἰς διαφόρους μνήμας καὶ λιτὰς καὶ λειτουργίας καὶ παν(ν)υχίδας τῆς Μεγάλης 'Εκκλησίας,

ἃς πολλάκις ποιεῖ». Τὸ κείμενον λήγει εἰς τὰς ἑξῆς λέξεις περικοπῆς δ' ἐκ τοῦ κατὰ Λουκᾶν· «ενεσθησεσιν ἀστραπτούσαις + ἐμφόβων δὲ γενομένων αὐ - - -».

**653**. Τεῦχος μεμβράνινον τῆς 13-ης ἑκατ., ἀκέφαλον καὶ κολοβόν, ἐκ φύλλων 117 μήκ. 0,235, πλ. 0,19. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 39 ἢ 40, ἔχον ἐπιγραφὰς ἐρυθρὰς καὶ κεφαλαιώδη στοιχεῖα ἀρκτικὰ ὡσαύτως ἐρυθρά.—Παρακλητικὴ ἀρχομένη ἀπὸ τῶν ἑξῆς λέξεων μαρτυρικοῦ τροπαρίου ψαλλομένου τῇ Τρίτῃ ἑσπέρας τῆς περιόδου τοῦ πρώτου ἤχου· «(ἀγάλλε)σθαι(=ε). ὄντως καλὸν ἡμῶν (=ὑμῶν) το ἐμπόρευμα. φθαρτὰ γὰρ καταλ(ιπόντες)» κτλ. Ἴδε Παρακλητικῆς (ἐν Ῥώμῃ 1885) σ. 50.

**654**. Τεῦχος χάρτινον ἔτους 1820-οῦ, ἐκ φύλλων β'+317 μήκ. 0,235, πλ. 0,165. Φύλλα ἄγραφα· 42-77, 305. Ἐπὶ τῆς ἄνω ὤας τοῦ φ. 299ᵃ διὰ χειρὸς τοῦ γραφέως· «,αωκ' Μαΐου α'». Ἐν τῷ φ. α'· «Τὸ παρὸν ἰατροσοφικὸν βιβλίον ὑπάρχει ἐμοῦ τοῦ Παναγιώτου Σερδάρη Πελοποννησίου: καὶ ὅστις εἶναι τέλειος καὶ ἄριστος ἰατρὸς, ἠμπορεῖ νὰ τὸ μεταχειρισθῇ, ὅταν ἤθελε τὸ καλέσῃ ἡ χρεία. ὅστις δὲ δὲν γινώσκει τὴν ἰατρικὴν ἐπιστήμην, νὰ μὴ λάβῃ τελείως αὐτὸ εἰς χεῖρας του, οὔτε νὰ διορίσῃ ἀπὸ τὰ γεγραμμένα ἰατρικὰ ὁποῦ ἐμπεριέχονται ἐν τῷ παρόντι βιβλίῳ. Παναγιώτης Σερδάρης». Εἶτα τὸ ὄνομα «Δωρόθεος». Μετὰ τοῦτο· «Ὅποιος θέλει νὰ μάθῃ ἰατρικήν, ἂς μὴ γυρεύῃ Εὐρώπην καὶ ἄλλα, ἀλλὰ νὰ ἔλθῃ εἰς τὸν ἄρχ(οντα) Σερδάρη, καὶ ἂν διαβάσῃ εἰς τὴν εὐγεν(ε)ίαν του δύο ἢ τρεῖς ἡμέρας, τὸν φθάνει, ὅσον νὰ διαβάσῃ εἰς τὴν Εὐρώπην δύο ἢ τρεῖς χιλιάδες χρόνους». Ἐν τῷ φ. β' «Κανόνες βίου».

Βρομὰντ Κόντζ «βιβλίον περὶ ἰατρικῆς». Ἡ ἐπιγραφὴ ἐν τῷ φ. 41ᵃ, ἐν δὲ τοῖς φ. 1-40 «πίναξ τοῦ παρόντος ἰατροσοφικοῦ βιβλίου». Τὸ κείμενον ἄρχεται ἀπὸ τοῦ φ. 78 διὰ τῶν λέξεων· «Ἀρθρίτης ἐστὶ φλεγμονὴ» κτλ. — Ἐν τοῖς φ. 297-299 πρόσθετος Σφέτζου Γέρσερ «ρετζέτα θαυμασίου βαλσάματος βοηθοῦντος ἐν διαφόροις ἀσθενείαις» καὶ «περὶ τοῦ εἴδους τῆς κατασκευῆς» αὐτοῦ.—Ἐν τοῖς φ. 301ᵃ-304ᵃ «Σημείωσις ἰατρικῶν δοκίμων καὶ πάνυ ὠφελίμων παρὰ Σταυράκη Χ. Σάββα Σαρράφη τοῦ Βυζαντίου».

*

**655**. Τεῦχος χάρτινον τῶν ἐτῶν 1802-1803, ἐκ φύλλων 268 μήκ. 0,23, πλ. 0,162. Φύλλα ἄγραφα· 124, 159-164. — Φ. 1-123. Δανιὴλ Πατμίου τοῦ Κεραμέως μετάφρασις τῶν ἐπιστολῶν Συνεσίου.—Φ. 125-158. Μετάφρασις τοῦ περὶ βασιλείας εἰς Ἀρκάδιον λόγου τοῦ Συνεσίου.— Φ. 165-268. «Ἐκ τῶν τοῦ Γρηγορίου τοῦ Θεολόγου ἐπιστολῶν ἐξηγήσεις παρὰ Δανιὴλ Πατμίου τοῦ Κεραμέως».

**656**. Τεῦχος χάρτινον ἔτους 1746-ου, μήκ. 0,235, πλ. 0,17. Σελίδες ἠριθμημέναι 326. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 31. — Διδαχαὶ τουρκιστὶ διὰ γραμμάτων ἑλληνικῶν. Ἐπιγραφή· «Που κιταπι γιαζαν Καϊσερη, ναχγελερηντε Βέξελη παπα Ισαϊνην, = Τορνου, Κωσταντη, ετους 1746 μιν, Μαρτιος, 20».

**657**. Τεῦχος χάρτινον ἔτους 1746-ου, ἐκ φύλλων 207 μήκ. 0,232, πλ. 0,162. Τὸ κείμενον δίστηλον ἐκ γραμμῶν 22*.—Οἱ ψαλμοὶ Δαυὶδ ἑλληνιστὶ καὶ τουρκιστὶ μετὰ προλόγου τουρκικοῦ. Τὸ τουρκικὸν κείμενον διὰ στοιχείων ἑλληνικῶν. Ἀρχ. «Κιτὰπ Ταβουτ. πεηγαμ περῖν. ζεπουρὶ» κτλ. Μετὰ τὸ πέρας τῶν ψαλμῶν· «Βεσηντὶ. ποῦ ζεπουρῖ. τεφά. γιαζάν. σουάλ. ολουνουρσά. Καγισερῖ. επαρχιασηντᾶ. μῖ. βεξὲ. κῶγιουντὲν. σαχῖν. ὠλᾶν. χριστιανλαρήν. ενετνασῆ. ελφᾶκῖρ. παπᾶ. Ισαϊανῆν. Τορνοῦ. κιουναχχὲρ. Κωσταντῆ. γιαζτῆ. ἀλλαχὴν ἐχσᾶνιπλᾶν. εγερ. χερκημκιοχουρσᾶ. πιζιτὲ τοβατᾶν ουνοῦτμασιν σενὲ, 1745, πασλαμῖς. σενε 1746 τεμᾶμ. ολμοῦς. Δεκεβριὸς ς».

**658**. Τεῦχος χάρτινον ἔτους 1764-ου, ἐκ φύλλων 128 μήκ. 0,24, πλ. 0,172. Φύλλα ἄγραφα· 118-120. Ἐπὶ τῆς ἄνω ᾤας τοῦ φ. 1α διὰ χειρὸς τοῦ βιβλιογράφου· «͵αψξδ': Νοεμβρίου ιεη ἐγράφη». Ὁ αὐτὸς ἐν τῷ φ. 128β σημειοῦται ταῦτα· «Ἐπὶ τῆς πατριαρχείας τοῦ Σαμουὴλ ἐξεδόθη γράμμα σιγγιλιῶδες συνοδικὸν μεμβράϊνον σταυροπηγιακὸν τῆς ἱερᾶς μονῆς τοῦ ἁγίου Γεωργίου τῆς Μαλησίνης τοῦ κατὰ τὴν ἐπαρχίαν Θηβῶν εὑρισκόμενον· ὑπερόριος δὲ γενόμενος ὁ Σαμουὴλ, καὶ μετὰ τὸν Μελέτιον, ἐδόθη πά-

* Μετὰ τὴν πρώτην πινακίδα προσέθηκεν ὁ δέτης δύο παράφυλλα, ἐν οἷς σὺν ἄλλοις τισὶ σχεδίοις εὑρίσκεται διὰ μέλανος ἁπλοῦν σχέδιον εἰκόνος τοῦ προφήτου Δαυίδ.

λιν βεβαιωτήριον γράμμα σιγγίλλιον ἐπὶ τῆς πατριαρχείας τοῦ κὺρ Θεοδοσίου τοῦ ἀπὸ Θεσσαλονίκης πατριαρχεύσαντος εἰς τὴν ἱερὰν ταύτην μονήν. ὅθεν ἔστω εἰς ἔνδειξιν: — αψξθ: Ὀκτωβρίου $\overline{\text{κς}}^{η}$— Ὁ ὑπερασπιστὴς τῆς μονῆς ταύτης γέγραφα».

1. Φύλλ. 1-117. «Γεωργίου τοῦ Φραντζῆ μεγάλου λογοθέτου τῆς ἐν Κ/πόλει ποτὲ βασιλείας Ῥωμαίων ἀρχὴ τοῦ χρονικοῦ σὺν Θεῷ ἁγίῳ». Ἀρχ. «Βιβλίον πρῶτον κεφάλαιον α'. Ὁ τῆς ἀρχῆς ἐπιβήτωρ Ἀλέξιος» κτλ.

2. Φύλλ. $121^{α}$-$128^{α}$. «Τοῦ σοφωτάτου καὶ λογιωτάτου κυρίου Γενναδίου τοῦ Σχολαρίου καὶ πατριάρχου Κ/πόλεως ὁμιλία ῥηθεῖσα περὶ τῆς ὀρθῆς καὶ ἀμωμήτου ἡμῶν πίστεως τῶν χριστιανῶν. ἐρωτηθεὶς παρὰ τοῦ ἀμηρᾶ σουλτάνου Μεεχμέτη τάδε. + Ὁ ἀμηρᾶς λέγει αὐτῷ κτλ. - - - πάντα αὐτὰ τὰ κεφάλαια ἐμεταγλωττίσθησαν εἰς τὴν ἀραβικὴν γλῶσσαν ὑπὸ τοῦ Ἀχμὲτ καδδῆ Βεῤῥοίας τοῦ πατρὸς Μαχμοὺτ Τζελεπῆ τοῦ ἀναγραφέως».

**659.** Τεῦχος χάρτινον τῆς 17-ης ἑκατ. ἐκ φύλλων 386 μήκ. 0,23, πλ. 0,17. Φύλλα ἄγραφα· 269-270. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 28-31. Ἐπὶ τῆς ἐσωτερικῆς ὄψεως τῆς πρώτης πινακίδος ὑπάρχει κεχολλημένον μεμβράνινον φύλλον διστήλου τινὸς αἰθιοπικοῦ κειμένου.

1. «Ἀπὸ τῆς ἐρωτήσεως τοῦ ἁγίου Πέτρου Δαμασκηνοῦ λόγοι, οὓς ἠρώτησε τῷ ἀββᾷ αὐτοῦ εἰς τὸ *Πρόσεχε σεαυτῷ*». Ἀρχ. «Πρόσεχε σεαυτῷ ἀκριβῶς θαρρῶν» κτλ., φ. $1^{α}$.

2. «Ἡσυχίου πρεσβυτέρου Ἱεροσολύμων περὶ αὐταρκείας». Ἀρχ. «Μηδαμῶς ἕνεκεν τῆς χρείας» κτλ., φ. $2^{α}$·

3. «Τοῦ ἀββᾶ Εὐλογίου». Ἀρχ. «Διηγήσατο ἡμῖν ὁ ἀββᾶς Εὐλόγιος, ὥσπερ ἄλλου τινὸς» κτλ., φ. $2^{β}$.

4. «Τοῦ ἀββᾶ Ἀντωνίου». Ἀρχ. «Εἶπεν ὁ ἀββᾶς Ἀντώνιος· καθεζόμενος ἐν τῷ κελλίῳ σου» κτλ., φ. $3^{α}$.

5. «Ἐπιστολὴ Συμεὼν μητροπολίτου Εὐχαΐτων πρὸς Ἰωάννην μοναχὸν καὶ ἔγκλειστον». Ἀρχ. «Τρία μέρη λέγουσιν οἱ πατέρες» κτλ., φ. $3^{β}$-$7^{α}$.

6. «Ἀναστασίου τοῦ Σιναΐτου περὶ διαφόρων τρόπων μετα-

νοίας καὶ σωτηρίας ψυχῶν ἐν κεφαλαίοις ι'». Ἀρχ. «Γινώσκων ὁ Θεὸς τὸ ἀσθενὲς» κτλ., φ. 7α-9α.

7. «Ἐκ τῶν ἀσκητικῶν τοῦ μεγάλου Βασιλείου». Ἀρχ. «Τὸ τελειότατον ἔργον τῆς ἀσκητικῆς πολιτείας», φ. 9α.

8. «Ἐκ τοῦ Γεροντικοῦ». Ἀρχ. «Τῷ ἀββᾷ Λουκίῳ παρέβαλλον εἰς τὸ Ἔννατον» κτλ., φ. 10β.

9. «Κεφάλαια ι' πάνυ ὡραῖα». Ἀρχ. «ᾱ. Ὁ φόβος τοῦ Θεοῦ διώκει» κτλ., φ. 11α. Εἶτα τεμάχη ἀββᾶ Δωροθέου, Μαξίμου τοῦ Ὁμολογητοῦ, Μάρκου μοναχοῦ, Νείλου μοναχοῦ, Γεροντικοῦ καὶ βίου τοῦ ἁγίου Ἀρσενίου.

10. «Ἐκ τοῦ Παραδείσου παραινέσεις ἁγίων πατέρων εἰς προκοπὴν τελειότητος». Ἀρχ. «Ἠρώτησέ τις τὸν ἀββᾶν Ἀντώνιον» κτλ., φ. 13α.

11. «Περὶ ἀνεξικακίας καὶ πραότητος». Ἀρχ «Παρέβαλον ἀδελφοὶ» κτλ., φ. 23α.

12. Ἐφραὶμ τοῦ Σύρου «λόγος περὶ ἀγάπης». Ἀρχ. «Μηδὲν προτιμήσωμεν» κτλ., φ. 26β.

13. «Ἐκ τοῦ Πατερικοῦ περὶ τὰ σαραντάρια ὁποῦ κάμνουν διὰ τοὺς ἀπεθαμένους, ὅτι τελείως λυτρώνουν τὴν ψυχὴν ἀπὸ τὴν κόλασιν». Ἀρχ. «Ἐξηγοῦνται εἰς τὸ Πατερικὸν» κτλ., φ. 27β.

14. «Περὶ τῶν διδομένων λειτουργιῶν τῶν ἱερέων διὰ σαραντάρια τῶν ζώντων». Ἀρχ. «Ἕνας ἄρχοντας εἰς τὴν Νικομήδειαν» κτλ., φ. 28α.

15. Ἐφραὶμ τοῦ Σύρου «λόγος περὶ μετανοίας καὶ περὶ τοῦ τιμίου σταυροῦ». Ἀρχ. «Ἀγαπητοὶ ἀδελφοί, νυκτὸς καὶ ἡμέρας» κτλ., φ. 29α.

16. «Ἐκ τοῦ ὁσίου πατρὸς ἡμῶν Νήφωνος μερικὰ κεφάλαια πάνυ ὠφέλιμα». Ἀρχ. «Ὁ μακάριος καὶ δοῦλος τοῦ Θεοῦ» κτλ., φ. 30β.

17. «Θεοφάνους μοναχοῦ τοῦ ῥήτορος διδασκαλία πρὸς τοὺς εὐσεβεῖς χριστιανοὺς πεζῇ φράσει εἰς τὰ δώδεκα ἄρθρα τῆς πίστεως». Ἀρχ. «Πρῶτον πρέπει τῷ ἀληθινῷ» κτλ., φ. 33β.

18. «Τοῦ ἁγίου Ἐφραίμ». Ἀρχ. «Ἀδελφέ, τί πλανᾶσαι ἐνεργούμενος» κτλ., φ. 37α.

19. «Διήγησις πάνυ ὠφέλιμος τοῦ ἀββᾶ Μακαρίου τοῦ Αἰγυπτίου». Ἀρχ. «Πορευόμενος ποτέ τις τῶν ἁγίων» κτλ., φ. 38ᵅ.

20. «Λόγος τοῦ ἀββᾶ Ἰσαὰκ πρὸς μοναχοὺς ἀρχαρίους, μεταφρασθεὶς παρὰ Διονυσίου ἱερομονάχου τοῦ Στουδίτου εἰς ὠφέλειαν τῶν εὑρισκομένων». Ἀρχ. «Ἀδελφοὶ καὶ πατέρες, αὐτὰ τὰ λόγια καὶ ταῖς παραγγελίαις» κτλ., φ. 41ᵅ.

21. Βασιλείου Καισαρείας «λόγος περὶ ἀσκήσεως, πῶς δεῖ κοσμεῖσθαι τὸν μοναχόν». Ἀρχ. «Δεῖ τὸν μοναχὸν» κτλ., φ. 42ᵝ.

22. Ἰωάννου Χρυσοστόμου «εἰς τὴν ἐπιγραφὴν τοῦ ν′ ψαλμοῦ, καὶ περὶ μετανοίας εἰς τὸν βασιλέα Δαυίδ, καὶ περὶ τῆς τοῦ Οὐρίου». Ἀρχ. «Οἱ ζωγράφοι μιμοῦνται» κτλ., φ. 43ᵝ.

23. Τοῦ αὐτοῦ «λόγος β′ εἰς τὰ ὑπόλοιπα τοῦ πεντηκοστοῦ ψαλμοῦ καὶ περὶ μετανοίας». Ἀρχ. «Τὰ λείψανα τῆς χθεσινῆς τραπέζης» κτλ., φ. 50ᵅ. Εἶτα ἑρμηνεῖαι εἰς τοὺς ψαλμοὺς ρθ′, ρμ′, ρμα′, ρκθ′, ριζ, ε′ καὶ ἑτέρους, φ. 59-268.

24. «Χρυσοστόμου περὶ σωτηρίας ψυχῆς». Ἀρχ. «Ἀγαπητοί, ὅσα τὰ τοῦ βίου μάταια» κτλ., φ. 271ᵅ.

25. «Χρυσοστόμου περὶ μετανοίας». Ἀρχ. «Διαγράψωμεν, ἀγαπητοί, τὰ τῆς μετανοίας φάρμακα», φ. 273ᵝ.

26. Ἀνωνύμου «ὅτι οὐ χρὴ εὐτραπελίζειν τὸν ἀσκητήν». Ἀρχ. «Πανάγιαι αἱ παραινέσεις» κτλ., φ. 275ᵅ.

27. Ἀνωνύμου «περὶ ὑπομονῆς». Ἀρχ. «Οἱ διψῶντες ὁδοιπόροι» κτλ., φ. 278ᵝ.

28. Ἀνωνύμου «περὶ τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος». Ἀρχ. «Οἱ κατὰ τῆς ἁγίας» κτλ., φ. 282ᵅ.

29. «Χρυσοστόμου λόγος πάνυ ὠφέλιμος περὶ πίστεως καὶ εἰς τὸν περὶ φύσεως νόμον, καὶ περὶ τοῦ ἁγίου πνεύματος». Ἀρχ. «Πᾶσα γραφὴ θεόπνευστος» κτλ., φ. 287ᵝ.

30. «Χρυσοστόμου περὶ προσευχῆς λόγος α′». Ἀρχ. «Ἀμφοτέρων ἕνεκα προσήκει» κτλ., φ. 292ᵝ. Ἀπὸ φ. 295ᵅ ὁ β′ λόγος. Ἀρχ. «Ὅτι μὲν παντὸς ἀγαθοῦ» κτλ.

31. «Χρυσοστόμου λόγος περὶ μετανοίας ἐξ ἀγροῦ διὰ χρόνου ἐλθόντος. Λόγος α′». Ἀρχ. «Ἆρα ἐμέμνησθε ἡμῶν» κτλ., φ.

298. Εἶτα οἱ λοιποὶ λόγοι.—α') «Περὶ μετανοίας καὶ κατανύεως καὶ ὅτι ταχὺς ὁ Θεὸς εἰς σωτηρίαν, βραδὺς εἰς τιμωρίαν· ἐν ᾧ καὶ περὶ τῆς Ῥαὰβ παράδοξος ἱστορία. Λόγος β'». Ἀρχ. «Πάντοτε μὲν ὁ θεῖος ἀπόστολος» κτλ., φ. $301^{\beta}$. — β') «Περὶ μετανοίας καὶ ἐς τὴν σκυθρωπότητα βασιλέως Ἀχαὰβ καὶ εἰς Ἰωνᾶν τὸν προφήτην Λόγος γ'». Ἀρχ. «Εἴδετε τῇ προτέρᾳ Κυριακῇ» κτλ., φ. $308^{\alpha}$.— γ') «Περὶ μετανοίας λόγος δ'». Ἀρχ. «Εἰ καὶ χθὲς ὑμῶν ὑπελείφθην» κτλ., φ. $311^{\alpha}$. — δ') «Περὶ μετανοίας καὶ εἰς τοὺς ἀπολειφθέντας ἐν ταῖς συνάξεσιν· ἐν ᾧ καὶ περὶ τῆς ἱερᾶς τραπέζης καὶ κρίσεως. Λόγος ε'». Ἀρχ. «Ὥσπερ τοῖς σπείρουσιν» κτλ., φ. $315^{\alpha}$.— ε') «Περὶ μετανοίας καὶ ἐλεημοσύνης λόγος ς'». Ἀρχ. «Ἆρα οἴδατε πόθεν» κτλ., φ. $316^{\beta}$. — ς') «Περὶ μετανοίας καὶ εὐχῆς λόγος ζ'». Ἀρχ. «Οἱ ποιμένες τὰ πρόβατα» κτλ., φ. $320^{\alpha}$.

32. «Χρυσοστόμου ὁμιλία περὶ τοῦ ἁγίου πνεύματος». Ἀρχ. «Χθὲς ἡμῖν ὦ φιλόχριστοι» κτλ., φ. $323^{\beta}$.

33. «Χρυσοστόμου ὁμιλία, ὅτι τὸ μὴ λέγειν, ἅπερ ἴσμεν, καὶ εἰς ἑτέρους ἐκφέρειν πενέστερον ποιεῖ καὶ τὴν χάριν σβέννυσι» κτλ. Ἀρχ. «Ἱκανῶς ἐν ταῖς ἔμπροσθεν» κτλ., φ. $331^{\beta}$.

34. «Χρυσοστόμου πρός τε Ἰουδαίους καὶ Ἕλληνας ἀπόδειξις, ὅτι ἔστι θεὸς ὁ Χριστὸς ἐκ τῶν παρὰ τοῖς προφήταις πολλαχοῦ περὶ αὐτοῦ εἰρημένων». Ἀρχ. «Ἐπειδὴ πολλοὶ τῶν ἀνθρώπων» κτλ., φ. $336^{\beta}$.

35. «Χρυσοστόμου εἰς τὸ ὅτι Παλαιᾶς καὶ Καινῆς εἷς νομοθέτης, καὶ εἰς τὸ ἔνδυμα τοῦ ἱερέως, καὶ περὶ μετανοίας». Ἀρχ. «Τῆς Χριστοῦ βασιλείας τὸ εὐαγγέλιον» κτλ., φ. $347^{\alpha}$.

36. «Ὅτι οὐκ ἀρκεῖ ἡ νηστεία τῆς τεσσαρακοστῆς πρὸς τὸ δύνασθαι κοινωνεῖν» κτλ. Ἀρχ. «Περὶ τὸ τέλος ἡμῖν τῆς νηστείας ὁ καιρὸς» κτλ. φ. $352^{\beta}$.

37. «Χρυσοστόμου ὁμιλία περὶ νηστείας καὶ εἰς τὸν προφήτην Ἰωνᾶν» κτλ. Ἀρχ. «Φαιδρὰ σήμερον», φ. $359^{\alpha}$. — «Λόγος περὶ νηστείας β'» Ἀρχ. «Ὡς τερπνὰ τῆς πνευματικῆς» κτλ., φ. $362^{\beta}$.

38. «Χρυσοστόμου λόγος περὶ νηστείας α'». Ἀρχ. «Καλὴ ἡ νηστεία» κτλ., φ. $366^{\beta}$. — Λόγος β'. Ἀρχ. «Οὐχ ἑαυτῷ μόνον

ἀρκεῖν» κτλ. φ. 368β. — Λόγος γ'. Ἀρχ. «Οὐ τοῦτο μόνον ἐστὶ τὸ ζητούμενον» κτλ., φ. 370α.

39. (Χρυσοστόμου) «εἰς κήρυγμα νηστείας λόγος α'». Ἀρχ. «Ἐπὶ θεραπείαν τήμερον» κτλ., φ. 372β.—«Περὶ νηστείας λόγος β'». Ἀρχ. «Πάλιν ἡμᾶς ἡ ἁγία νηστεία» κτλ., φ. 373β.— «Περὶ νηστείας λόγος γ'». Ἀρχ. «Πρώην ἐξ ὧν ἠκηκόατε», φ. 374β. — «Περὶ νηστείας λόγος δ'». Ἀρχ. «Αἱ τῶν ὑδάτων πηγαὶ» κτλ., φ. 375β. — «Περὶ νηστείας λόγος ε'». Ἀρχ. «Σήμερον, ἀγαπητοί, τὸν ἰατρὸν» κτλ., φ. 376α.— «Περὶ νηστείας λόγος ϛ'». Ἀρχ. «Πάλιν νηστείας καιρὸς» κτλ., φ. 377α. — «Περὶ νηστείας λόγος ζ'». Ἀρχ. «Ἦκε καὶ σήμερον Ἱερεμίας» κτλ., φ. 478β.

40. «Χρυσοστόμου ὁμιλία περὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως». Ἀρχ. «Περὶ δογμάτων ὑμῖν ἔμπροσθεν διελέχθημεν» κτλ., φ. 380.

**660**. Τεῦχος τῆς 16-ης ἑκατ. ἐκ φύλλων 250 στιλπνοῦ χάρτου, μήκ. 0,23, πλ. 0,165. Τὸ κείμενον καλόγραφον καὶ μονόστηλον ἐκ γραμμῶν 26-27, κεκοσμημένον ἐνιαχοῦ ταινιοειδέσι κοσμήμασι χρώματος βυσσίνου, ἔχον δὲ καὶ ἔγκοσμα ἀρχικὰ κεφαλαιώδη στοιχεῖα ταὐτόχροα. Ἐπὶ τῶν ἐσωτερικῶν ὄψεων ἀμφοτέρων τῶν πινακίδων ὁ δέτης ἐκόλλησε διαιρέσας εἰς δύο φύλλον μεμβρανίνου κώδικος διστήλου τῆς 11-ης ἑκατ., ἐν ᾧ περιέχεται μέρος ἐπιτόμου λειτουργικοῦ συναξαρίου.

1. Παρακλητικὴ ἀκέφαλος διὰ τὰς ἀκολουθίας Σαββάτου καὶ Κυριακῆς, ἀρχομένη ἀπὸ τῶν ἑξῆς λέξεων· «- - - οὐρανοῖς χαίρων πεπολίτευται:—Ναὸς καὶ παλάτιον ἐδείχθης Μαριάμ· ὁ ὢν γὰρ ἐν οὐρανοῖς ᾤκησεν ἐν μήτρᾳ σου. — Ὠδὴ δ'. Ἐλήλυθας ἐκ παρθένου» κτλ., φ. 1-71β.

2. «Ἐξαποστειλάρια ἑωθινὰ τὰ ια' σὺν τοῖς Εὐαγγελίοις», φ. 71β-82α.

3. «Ἀρχὴ σὺν θεῷ εἱρμολογίου περιεχομένου (= περιέχοντος) πάντας τοὺς παρὰ τοῦ ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ ποιηθέντας εἱρμούς», φ. 82α-123α.

4. «Μεγαλυνάρια ψαλλόμενα εἰς τὸν Ἄμωμον ἐν τῇ ἀποτομῇ,

ἑορτῇ τοῦ μεγάλου Προδρόμου». Ἀρχ. «Στάσις πρώτη: — Μακαρίζομέν σε βαπτιστὰ» κτλ., φ. $123^α$-$126^β$.

5. «Ἀκολουθία ἐπὶ νυκτερινῆς φαντασίας», φ. $126^β$-$128^β$.

6. «Ἀρχὴ τοῦ Πραξαποστόλου περιέχων τοῦ ἐνιαυτοῦ σαβᾶ^ω κυ^ας (=Σαββατοκυριακάς), ἀλλὰ δὴ καὶ τὸ μηνολόγιον τῶν ἁγίων πάντων σὺν τροπαρίοις, κοντακίοις», φ. $128^α$-$250^α$.

**661**. Τεῦχος χάρτινον ἔτους 1792-ου, ἐκ φύλλων 339. Αὐτόγραφον Ἀθανασίου τοῦ Παρίου.

1. Ἀθανασίου Παρίου πρόλογος (φ. 1-4) εἰς τὰ ἐν τῷ κώδικι τούτῳ κείμενα, λέγοντος ἐν αὐτῷ σὺν ἄλλοις ὅτι τὸ παλαιὸν αὐτῶν ἀντίγραφον εὗρεν ἐν τῇ μονῇ τῶν Ἰβήρων. Ἀρχ. «Πολλῶν ὄντως καὶ μεγάλων» κτλ. Τέλος «͵αψϞβʹ: Ἰουνίου κϛ^η: Ὁ ἐν ἱερομονάχοις ἐλάχιστος καὶ ἐν Χριστῷ ὑμῶν ἀδελφός».

2. «Ἀφθονίου τοῦ σοφιστοῦ περὶ προγυμνασμάτων, μετὰ τῶν εἰς αὐτὰ παλαιῶν ἐξηγήσεων· καὶ πρῶτον περὶ τοῦ προγυμνάσματος ἐν γένει, τοῦτ' ἔστιν ὅρος αὐτοῦ καὶ τίς ἐκ τούτων ὠφέλεια». Ἀρχ. «Προγύμνασμα ἔστιν ἄσκησις» κτλ. Ἐξέδωκεν Ἀθανάσιος Πάριος· ἴδε τὴν αὐτοῦ Ῥητορικὴν πραγματείαν, Ἐνετίῃσιν 1799, σ. 1-532.

3. «Ἐγχειρίδιον διδάσκον ἰδίᾳ περὶ τοῦ ἐπιδεικτικοῦ γένους». Διήρηται εἰς ὀκτὼ κεφάλαια. Ἀρχ. «Κεφ. αʹ. Περιττόν, ὡς ἔοικεν, ὁ Ἑρμογένης ἡγήσατο» κτλ., φ. 323-339. Ἴδε Ἀθ. Παρίου Ῥητορ. πραγματείας σ. 1-28 (ἐν τῷ παραρτήματι ταύτης).

**662**. Τεῦχος χάρτινον καὶ κολοβὸν ἐκ φύλλων 228 μήκ. 0,233 πλ. 0,163. Φύλλα ἄγραφα· 180-181. Ἐγράφη περὶ τὴν ἀρχὴν τῆς 18-ης ἑκατ. — Ἰλιάδος Α - Ε μετὰ πυκνῶν ἐν ταῖς ᾤαις σχολίων καὶ παραφράσεως ἄνωθεν τοῦ κειμένου.

**663**. Τεῦχος χάρτινον τῆς 16-ης ἑκατ. ἐκ φύλλων 185 μήκ. 0,228, πλ. 0,152. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 26. Φύλλα ἄγραφα· 120, 170. Τὰ φ. 1-120 διῄρηνται εἰς ιηʹ τετράδια ἠριθμημένα. Ἐπὶ τῆς ἄνω ᾤας τοῦ φ. $1^α$ ἀναγινώσκεται τὸ ἑξῆς ex-libris 16-ης ἑκατ. «Κυρίλλου ἱερομονάχου ΙΓ».

1. «Φύλλ. $1^α$-$56^β$. «+ Ὀνομάτων ἀττικῶν συλλογή, ἐκλεγεῖ-

σα ἀπὸ τῆς τεχνολογίας τῶν εἰκόνων τοῦ Φιλοστράτου, ἣν ἐξέδοτο ὁ σοφώτατος κῦρις Μανουὴλ ὁ Μοσχόπουλος. συναχθεῖσαν ἀπὸ τῶν βιβλίων τῶν ποιητῶν· συνετέθη δὲ ἐνταῦθα κατὰ στοιχεῖον». Ἀρχ. «Ἀρχὴ τοῦ ᾱ. Τὸ ᾱ μόριον ποτὲ μὲν δηλοῖ στέρησιν, ὡς ἐν τῷ *ἄκλητος*» κτλ. Τέλος· «οἷον, ὡς ὄφελον γε, καὶ σὲ τῇ κακοδοξίᾳ νενεκρωμένον: + τέλος τῆς κατὰ στοιχεῖον ἀρίστης γραμματικῆς τοῦ σοφωτάτου κῦρι Μανουὴλ τοῦ Μοσχοπούλου».

2. Φύλλα $57^{\alpha}$-$119^{\beta}$. «Ὀνομάτων ἀττικῶν ἐκλογή, οἷς οἱ δοκιμώτατοι χρῶνται τῶν πάλαι, καί τινες αὐτῶν παρασημειώσεις καὶ διαφοραὶ πρὸς ἄλληλα· τῷ σοφωτάτῳ καὶ τιμιωτάτῳ μοναχῷ πονηθεῖσα κῦρι Θεοδοσίῳ τῷ μαγίστῳ». Ἀρχ. «Αἰχμάλωτον ποιοῦ» κτλ. Τέλος· «μηδεμίαν τοῦ $\overline{\alpha\nu}$ δύναμιν ἔχοντος: — + υἱέϊ παμμεδέοντος θεοῖο ἄνακτι Χριστῷ δόξα: — ἡ τοῦ μαγίστρου γραμματικὴ τέλος ἔσχεν».

3. Φύλλ. $121^{\alpha}$-$122^{\alpha}$. «Ὅρα τί λέγει ἐνταῦθα περὶ κοινῆς συλλαβῆς ἀναγκαῖα πάνυ». Ἀρχ. «Ὁ μὲν τεχνικὸς τρεῖς μόνους εἶπε τρόπους κοινῆς συλλαβῆς» κτλ. Τέλος· «ἐμήκυνε τὴν $\overline{\nu\alpha}$ συλλαβήν».

4. Φύλλ. $122^{\alpha}$-$131^{\alpha}$. «Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τῆς περὶ τῶν ἐμμέτρων λόγων διδασκαλίας: ἡ παροῦσα πραγματεία ἐκ διαφόρων ἤθροισται βιβλίων». Ἀρχ. «Πόσα στοιχεῖα λόγου; κδʹ. Τὰ αὐτὰ δὲ καὶ γράμματα λέγονται» κτλ. Τέλος· «ἢ τὸ εἶδος ἀντὶ γένος, ὡς τὸ *ἤκουον* ἀντὶ *ἠσθανόμην*.

5. Φύλλ. $131^{\alpha}$-$155^{\beta}$. «(Ἀ)στρονομίης ἔμπειρος κλεινῆς καὶ γραμματικῆς | Ἡφαιστίων μετρικὴν ἔξοχα πάντων καὶ τήνδε | αὐτὸς ἑῇ διανοίᾳ χρησάμενος ξυνέγραψεν: — Ἡφαιστίωνος ἡ παροῦσα πραγματεία». Ἀρχ. «Βραχεῖα ἐστὶ συλλαβὴ ἡ ἔχουσα» κτλ. Τέλος· «τὸ πολυσχημάτιστον, ὡς ἤδη εἴρηται αὐτὸ ἐν τῷ ἀσυναρτήτῳ».

6. Φύλλ. $155^{\beta}$-$156^{\beta}$. «Ἡφαιστίωνος μετρικῆς εἰσαγωγῆς περὶ ποιήματος». Ἀρχ. «Τῶν ποιημάτων τὰ μέν ἐστι κατὰ στίχον» κτλ. Τέλος· «τοῦτο καὶ ἐπῳδικῶς γεγράφθαι δοκεῖν».

7. Φύλλ. $156^{\beta}$-$161^{\beta}$. «Τοῦ αὐτοῦ Ἡφαιστίωνος σαφεστέρα

διδασκαλία περὶ μετρικῆς εἰσαγωγῆς, ἢ περὶ ποιήματος». Ἀρχ. «Στίχος ἐστὶ ποσὸν μέγεθος μέτρου» κτλ. Τέλος· «διὰ τούτων δηλούντων ἡμῶν, ὅτι ἀνταποδίδονται».

